
LASCARIS
GRAMMATIC
GRAECA
MEDIOLANI
1476
INCUNABULI
66
Biblioteca Nazionale
Centrale - Firenze









Δημήτριος ὁ Κρὴς τοῖς εὖ γεγονόσι καὶ σπουδαίοις
τῶν μειρακίων εὖ πράττειν. ὁρῶν ὑμᾶς τῶν κα-
λῶν ὄντας φιλομαθεῖς· καὶ τὴν τῶν ἑλληνικῶν λό-
γων παιδείαν προσκτήσασθαι διὰ σπουδῆς ποιου-
μένους τήν τε προθυμίαν ὑμῶν περὶ τὰ τοιαῦτα ἐ-
πῄνεσα καὶ ἠγάμην· καὶ τὸ τῆς τύχης γενναῖόν τε καὶ
φιλόμουσον μακαρίζων. ἐσκόπουν δὴ ἐκ πολ-
λοῦ τί ἂν ποιῶν ὑμῖν τοιούτοις οὖσι καὶ τῆς ἑλλη-
νικῆς ἐρασταῖς παιδείας χαριζοίμην· τῆς θ' ὑμετέ-
ρας σπουδῆς ἄξιόν τε ἅμα καὶ χάριεν παρεχοίμην.
ταῦτα δὴ λογιζόμενος ἄριστον ὑμῖν μὲν ἂν πάν-
υ κεχαρισμένον εἶναι καὶ χρήσιμον οὐδὲν ἧττον.
εἰ βιβλίων ἑλληνικῶν ἅμα πολλῆς δαπάνης καὶ
δυσχερείας ἀπορούντες τυγχάνοιτε· πρός γε τὸ
μανθάνειν ῥᾳδίως· καὶ τοῦ προκειμένου σκοποῦ
τυγχάνειν ἀσμένως. ἐμοὶ δὲ περὶ σπουδάς ὄντι
καὶ πλείονος ἄξιον λόγου, ἔτι τοιοῦτον ὑμῶν τε
καὶ ἐμαυτοῦ χάριν ἀσφαλῶς κατορθῶσαι δυναί-
μην. διόπερ πολλὰ μὲν τῷ λογισμῷ πλεῖστα δὲ
τῇ πείρᾳ διαπονήσας· μόλις εὗρον ὥστ' ἔχειν καὶ
βίβλους ἑλληνικὰς ἐντυπῶσαι· κατά τε τὴν τῶν
γραμμάτων συνθήκην πολλὴν καὶ ποικίλην πα-
ρ' ἕλλησιν οὖσαν καὶ τοὺς τῶν προσῳδιῶν τόπους
περιττόν τι καὶ οὐκ ὀλίγης δεόμενον σκέψεως ἔ-
χοντας. ἔδοξεν οὖν μοι πρῶτον τὴν Κωνσταντίνου



γραμματικὴν ἀνδρὸς ἐλλογίμου καὶ τὰ περὶ τὴν
γραμματικὴν εἴπερ τις διηκριβωκότος ἐντυπῶ-
σαι. τοῦτο μὲν ὡς πάνυ εὐσύνοπτον οὖσαν καὶ κο-
μιδῆ χρήσιμον τοῖς εἰσαγομένοις. τοῦτο δὲ καὶ
ἀπόπειραν ὑμῶν ποιησομένην, εἰ ἄρα περὶ πλεί-
ονος ὑμῖν τὸ τοιοῦτο χρῆμα γεγένηται. καὶ ἡμῖν
οὐ μάτην πεπόνηται. ἔπειτα δὲ εἰ κατὰ γνώμην
τοῦτο χωρήσει, καὶ τῶν μειζόνων τε καὶ ἐντελεστέ-
ρων θεοῦ κελεύοντος ἅψασθαι. ὑμῶν οὖν ἂν εἴη
κράτιστοι νεανίσκοι καὶ τῆς ὑμετέρας εὐγεγονυία
φύσεως ἔργον καὶ ἐνδόξου σπουδῆς ἔργῳ δὴ τὴν
περὶ τοὺς ἑλληνικοὺς λόγους σπουδὴν βεβαιῶσαι.
ἀφ' ὧν οὐκ ὀλίγα οἶμαι πρὸς πᾶσαν ἀρετήν τε καὶ
μάθησιν ὠφελήσεσθε. καὶ τοιαύτης προφάσεως λα-
βομένους, τὰ περὶ τὴν γραμματικὴν ἀκριβῶς με-
τιόντας, ἀφθόνως ἕχεσθαι σὺν θεῷ τοῦ πρόσω.
ἡμᾶς τε προθυμοτέρους ποιῆσαι πρὸς τὸ πλείονά
τε καὶ πολλῷ καλλίω χαρίσασθαι. ἔρρωσθε.

Demetrius Cretéſis Ingenuis ac ſtudioſiſſimis ado leſcétibus ſalutem. Cum uos rerum bonarum ac lit terarum græcarum adipiſcendæ diſciplinæ ſtudioſos uiderem: ſane & ueſtram tã egregiam ad huiuſmodi res intentionem non iniuria ſum admiratus: & animi ueſtri generoſitatem excellentiamque beatam exiſti mans: multum ac diu cogitabã: qua ĩ re uobis græcæ amantiſſimis diſciplinæ gratificari poſſem: & quod ſtudio ueſtro dignum gratũque eſſ&: præſtaré. Hæc igitur animo uolutãs inueniebã uobis quidem ꝑgratũ ac nihilominus utile fore: ſi uobis copia libroꝝ græ- corum ſine multa impenſa difficultateque eſſet: quo & ad diſcendum ĩpenſius & propoſitum uobis liben tiori animo aſſequédum alacriores eſſetis: mihi uero optatiſſimum memoratuque dignum ſiqd tale ueſtra meaque cauſa recte efficere poſſem. Quapropter cum multum mente plurimum uero experiétia labo rauimus: uix tandé ĩueni: quo nã modo libri quoque græci imprimerentur: tum litterarum compoſitione quæ uaria & multiplex poenes litteras græcas exiſtat tum maxime locis accentuũ ſeruatis: quod profecto arduum erat: nec parua indigebat conſyderatione. Viſum itaque mihi eſt primo Cõſtantini Grammati cã ĩprimere uiri ſane diſerti grãmaticique diligentiſ ſimi cum ualde dilucidam apprimeqne incohantibus

utilem tum etiam periculum uestri facturam: siquidem & uobis hæc res pluris extimata sit: & a nobis minus frustra elaborata. Deinde si res ex sententia cesserit: maiora quoque atque præstātiora deo uolente attingere. Vestrum itaque erit optimi adolescentes ac uestræ naturæ ingenuæ studiique præstantis desyderium uestrum erga litteras graecas re ipsa iam confirmare: quae profecto nō paruo adiumento uoibs ad omnē uirtutē doctrināque erunt: & huiusmodi nactis occasionē: grammatica a uobis accurate intellecta præceptaque ad altiora deinceps fauente deo eniti: nosque promptiores reddere ad multa plura pulchrioraque uobis gratificandū. Valete.

ἘΠΙΤΟΜῊ ΤΩ͂Ν ὈΚΤΩ͂ ΤΟΥ͂ ΛΌΓΟΥ ΜΕΡΩ͂Ν ΚΑῚ ἌΛΛΩΝ ΤΙΝΩ͂Ν ἈΝΑΓΚΑΙ͂ΩΝ ΣΥΝΤΕΘΕΙ͂ΣΑ ΠΑΡᾺ ΚΩΝΣΤΑΝΤΊΝΟΥ ΛΑΣΚΆΡΕΩΣ ΤΟΥ͂ ΒΥΖΑΝΤΊΟΥ.

Περὶ διαιρέσεως τῶν γραμμάτων βιβλίον πρῶτον.

Γράμμα ἐστὶ μέρος ἐλάχιστον φωνῆς ἀδιαίρετον. Εἰσὶ δὲ γράμματα εἰκοσιτέσσαρα. Τούτων φωνήεντα μὲν ἑπτά· α ε η ι ο μικρὸν υ ψιλὸν καὶ ω μέγα. Σύμφωνα δὲ δεκαεπτά· β γ δ ζ θ κ λ μ ν ξ π ρ σ τ φ χ ψ. Τῶν δὲ φωνηέντων μακρὰ μὲν δύο η καὶ ω μέγα. Βραχέα δὲ δύο· ε ψιλὸν καὶ ο μικρόν. Δίχρονα δὲ τρία· α ι υ. Ἐξ ὧν δίφθογγοι κυρίως μὲν ἕξ γίνονται· αι αυ οι ει ευ ου. Καταχρηστικῶς δὲ τέσσαρες· ᾳ ῃ ῳ υι. Τῶν δὲ συμφώνων ἡμίφωνα μὲν ὀκτώ· ζ ξ ψ λ μ ν ρ σ. Ὧν διπλᾶ μὲν τρία· ζ ξ ψ. Ἀμετάβολα δὲ τέσσαρα· λ μ ν ρ. Ἄφωνα δὲ ἐννέα· β γ δ κ π τ θ φ χ. Ὧν ψιλὰ μὲν τρία· κ π τ. Δασέα δὲ τρία· θ φ χ. Μέσα δὲ τρία· β γ δ. Ἐκ τῶν διῃρημένων δὲ τῶνδε γραμμάτων αἱ συλλαβαὶ γίνονται· οἷον πε. ὅθεν αἱ λέξεις· οἷον πέτρος. ἐξ ὧν ὁ λόγος οἷον ὁ πέτρος ἀναγινώσκει.

Περὶ συλλαβῆς.

Συλλαβή ἐστι σύλληψις τοῦ ἐλάχιστον δύο γραμμάτων· καταχρηστικῶς δὲ καὶ τὰ φωνήεντα συλλαβαὶ λέγονται. Διαιρεῖται δὲ ἡ συλλαβὴ εἰς τρία· εἰς μακρὰν οἷον ἥρως· εἰς βραχεῖαν οἷον λόγος· εἰς κοινὴν οἷον ἄρης.

Περὶ λέξεως.

Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ συντακτικοῦ λόγου διαιρετικόν.

Περὶ λόγου.

Λόγος ἐστὶ λέξεων σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα. Τούτου δὲ μέρη ὀκτώ· ὄνομα· ῥῆμα· μετοχή· ἄρθρον· ἀντωνυμία· πρόθεσις· ἐπίρρημα· σύνδεσμος. Τούτων κλιτὰ μὲν πέντε· ὄνομα· ῥῆμα· μετοχή· ἄρθρον· ἀντωνυμία. Ἄκλιτα δὲ τρία· πρόθεσις· ἐπίρρημα· σύνδεσμος.

Περὶ ὀνόματος.

Ὄνομά ἐστι μέρος λόγου κλιτὸν οὐσίαν ἰδίαν ἢ κοινὴν σημαῖνον. Παρέπονται δὲ αὐτῷ πέντε· γένος· εἶδος· σχῆμα· ἀριθμὸς· πτῶσις.

Περὶ γενῶν.

Γένη μὲν εἰσὶ πέντε· ἀρσενικὸν οἷον ὁ ἀγαθός· θηλυκὸν οἷον ἡ ἀγαθή· οὐδέτερον οἷον τὸ ἀγαθόν· κοινὸν οἷον ὁ καὶ ἡ ἄνθρωπος· ἐπίκοινον οἷον ὁ ἀετός ἡ χελιδών· ὅπερ μιᾷ φωνῇ καὶ ἑνὶ ἄρθρῳ ἀρσενικῷ ἢ θηλυκῷ δηλοῖ τὰ δύο γένη.

Περὶ εἰδῶν.

εἴδη δὲ δύο· πρωτότυπον οἷον μέγας· παράγωγον οἷον μεγαλόψυχος.

Περὶ σχημάτων.

σχήματα δὲ τρία· ἁπλοῦν οἷον ἵππος· σύνθετον οἷον φίλιππος· παρασύνθετον οἷον φιλιππίδης.

Περὶ ἀριθμῶν.

ἀριθμοὶ δὲ τρεῖς· ἑνικὸς οἷον ὁ ἀγαθός· δυϊκὸς οἷον τὼ ἀγαθώ· πληθυντικὸς οἷον οἱ ἀγαθοί.

Περὶ πτώσεων.

πτώσεις δὲ πέντε· ὀνομαστικὴ· γενικὴ· δοτικὴ· αἰτιατικὴ· καὶ κλητική· ὧν ὀρθαὶ καὶ εὐθεῖαι δύο καλοῦνται· ὀνομαστικὴ καὶ κλητική· ὀρθῶς γὰρ ἱστάμεναι, ὀρθὴν τὴν οὐσίαν σημαίνουσιν· αἱ δ' ἄλλαι δὲ πλάγιαι.

Περὶ προσῳδιῶν.

προσῳδία ἐστὶ τόνος φωνῆς ἐγγραμμάτου. Εἰσὶ δὲ προσῳδίαι δέκα· ὀξεῖα / βαρεῖα \ περισπωμένη ⌒ μακρὰ — βραχεῖα ∪ δασεῖα c ψιλὴ ɔ ἀπόστροφος ɔ ὑφὲν ‿ καὶ ὑποδιαστολὴ ɔ.

Περὶ ἄρθρου.

ἄρθρον ἐστὶ μέρος λόγου κλιτὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον. Τούτου δὲ τὰ μὲν, προτακτικὰ οἷον ὁ· ἡ· τό· τὰ δὲ, ὑποτακτικὰ οἷον ὅς· ἥ· ὅ· Παρέπονται δὲ αὐτῷ τρία· γένος· ἀριθμός· πτῶσις.

Ἄρθρα προτακτικὰ ἀρσενικά.

ἡ ὀνομαστικὴ ὁ· ἡ γενικὴ τοῦ· ἡ δοτικὴ τῷ·

ἡ αἰτιατικὴ τόν. Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ τὼ
ἡ γενικὴ καὶ δοτικὴ τοῖν. Ἡ ὀνομαστικὴ οἱ. ἡ γε
νικὴ τῶν. ἡ δοτικὴ τοῖς. ἡ αἰτιατικὴ τούς.

Ἄρθρα θηλυκά.

ἡ. τῆς. τῇ. τὴν. / τὰ. ταῖν. / αἱ. τῶν. ταῖς. τάς.

Ἄρθρα οὐδέτερα.

τ ὸ. τοῦ. τῷ. τό. / τὼ. τοῖν. / τὰ. τῶν. τοῖς.
τά. Ἄρθρα ὑποτακτικὰ ἀρσενικά.
ὅ ς. οὗ. ᾧ. ὅν. / ὥ. οἷν. / οἵ. ὧν. οἷς. οὕς.

Θηλυκά.

ἥ. ἧς. ᾗ. ἥν. / ἅ. αἷν. / αἵ. ὧν. αἷς. ἅς.

Οὐδέτερα.

ὅ. οὗ. ᾧ. ὅ. / ὥ. οἷν. / ἅ. ὧν. οἷς. ἅ. Κλητικὴ
δὲ οὐδεμία ἄρθρον ἔχει. τὸ γὰρ ὦ ἐπίρρημά ἐστι
κλητικόν. Περὶ τῆς διαιρέσεως τῶν ὀνομάτων.
τ ῶν ὀνομάτων τὰ μέν, κλίνονται ἰσοσυλλά-
βως οἷον αἰνείας αἰνείου. τὰ δὲ περιττοσυλλάβως
οἷον αἴας αἴαντος. καὶ τὰ μὲν ἰσοσύλλαβα κλίνον
ται τετραχῶς. τὰ δὲ περιττοσύλλαβα μοναχῶς
διὸ καὶ πέντε κλίσεις εἰσίν. ὧν ἡ μὲν πρώτη καλεῖ
ται. ἡ δέ, δευτέρα. ἡ δέ, τρίτη. ἡ δέ, τετάρτη
ἡ δέ, πέμπτη περιττοσύλλαβος.

Πρώτη κλίσις.

π ρώτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν
ὀνομάτων εἰς ας ληγόντων. καὶ εἰς ης ἀρσενικῶν

καὶ κοινῶν· ὧν ἡ γενικὴ εἰς ου· ἡ δοτικὴ εἰς ᾳ ἢ εἰς ῃ κατὰ τὸ φωνῆεν τῆς ὀνομαστικῆς· ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς·
Ἡ ὀνομαστικὴ· Ὁ αἰνείας· Ἡ γενικὴ· Τοῦ αἰνείου· Ἡ δοτικὴ· Τῷ αἰνείᾳ· Ἡ αἰτιατικὴ Τὸν αἰνείαν· Ἡ κλητικὴ ὦ αἰνεία κοινῶς καὶ ὦ αἰνείας ἀττικῶς
Ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ Τὼ αἰνεία· Ἡ γενικὴ καὶ δοτικὴ Τοῖν αἰνείαιν· Ἡ κλητικὴ ὦ αἰνεία·
Ἡ ὀνομαστικὴ Οἱ αἰνεῖαι· Ἡ γενικὴ Τῶν αἰνειῶν· Ἡ δοτικὴ Τοῖς αἰνείαις· Ἡ αἰτιατικὴ Τοὺς αἰνείας Ἡ κλητικὴ ὦ αἰνεῖαι·
ὁ χρύσης· τοῦ χρύσου· Τῷ χρύσῃ· Τὸν χρύσην ὦ χρύση κοινῶς καὶ ὦ χρύσης ἀττικῶς Τὼ χρύσα τοῖν χρύσαιν· ὦ χρύσα· Οἱ χρῦσαι· Τῶν χρυσῶν τοῖς χρύσαις· Τοὺς χρύσας· ὦ χρῦσαι·
ὁ καὶ ἡ λῃστὴς τοῦ καὶ τῆς λῃστοῦ Τῷ καὶ τῇ λῃστῇ τὸν καὶ τὴν λῃστὴν ὦ λῃστὰ Τὼ καὶ τὰ λῃστὰ Τοῖν καὶ Ταῖν λῃσταῖν ὦ λῃστὰ Οἱ καὶ αἱ λῃσταὶ Τῶν λῃστῶν Τοῖς καὶ Ταῖς λῃσταῖς Τοὺς καὶ Τὰς λῃστὰς ὦ λῃσταί·

Δευτέρα κλίσις·

Δευτέρα κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων θηλυκῶν ὀνομάτων εἰς α καὶ εἰς η λῃγόντων· ὧν ἡ γενικὴ εἰς ης ἡ δοτικὴ εἰς ῃ ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς·
ἡ μοῦσα· Τῆς μούσης· Τῇ μούσῃ· τὴν μοῦσαν·

ὦ μοῦσα. Τὰ μούσα. Ταῖν μούσαιν. ὦ μούσα.
Αἱ μοῦσαι. Τῶν μουσῶν. Ταῖς μούσαις. Τὰς μού-
σας. ὦ μοῦσαι.

ἡ τιμή. Τῆς τιμῆς. Τῇ τιμῇ. Τὴν τιμήν. ὦ τι-
μή. Τὰ τιμά. Ταῖν τιμαῖν. ὦ τιμά. Αἱ τιμαί.
Τῶν τιμῶν. Ταῖς τιμαῖς. Τὰς τιμάς. ὦ τιμαί.

σημείωσαι ὅτι μόνα τὰ εἰς α μακρὸν καὶ εἰς
α καθαρὸν καὶ εἰς ρα καὶ εἰς δα καὶ εἰς θα λή-
γοντα ὀνόματα θηλυκά, φυλάττουσι τὸ α ἐπὶ
τῆς γενικῆς καὶ δοτικῆς οἷον ἀθηνᾶ ἀθηνᾶς ἀθη-
νᾷ. μαῖα μαίας μαίᾳ. ἡμέρα ἡμέρας ἡμέρᾳ. λή-
δα λήδας λήδᾳ. μάρθα μάρθας μάρθᾳ. Τὰ δὲ
ἄλλα πάντα τρέπουσι τὸ α εἰς η ἐπὶ τῆς γενι-
κῆς καὶ δοτικῆς. οἷον μοῦσα μούσης μούσῃ. δί-
ψα δίψης δίψῃ. πεῖνα πείνης πείνῃ.

τρίτη κλίσις.

τρίτη κλίσις τῶν ἰσοσυλλάβων ἀρσενικῶν καὶ
θηλυκῶν κοινῶν καὶ ἐπικοίνων ὀνομάτων, ἀττι-
κῶν ληγόντων εἰς ως καὶ οὐδετέρων εἰς ων· ὧν
ἡ γενικὴ καὶ δοτικὴ εἰς ω ἡ αἰτιατικὴ εἰς ν μετὰ
τοῦ φωνήεντος τῆς ὀνομαστικῆς.

ὁ μενέλεως. Τοῦ μενέλεω. Τῷ μενέλεῳ. Τὸν με-
νέλεων. ὦ μενέλεως. Τὼ μενέλεω. Τοῖν μενέ-
λεῳν. ὦ μενέλεω. Οἱ μενέλεῳ. Τῶν μενέλεων. Τοῖς
μενέλεῳς. Τοὺς μενέλεως. ὦ μενέλεω.

ἡ ἅλως· τῆς ἅλω· τῇ ἅλῳ· τὴν ἅλων· ὦ ἅλως·
τὰ ἅλω· ταῖν ἅλῳν· ὦ ἅλω· αἱ ἅλῳ· τῶν ἁ-
λων· ταῖς ἅλως· τὰς ἅλως· ὦ ἅλῳ·
ὁ καὶ ἡ εὔγεως· τοῦ καὶ τῆς εὔγεω·
τὸ εὔγεων· τοῦ εὔγεω· τῷ εὔγεω· τὸ εὔγεων· ὦ εὔ
γεων· τὼ εὔγεω· τοῖν εὔγεων· ὦ εὔγεω· τὰ εὔ-
γεω· τῶν εὔγεων· τοῖς εὔγεως· τὰ εὔγεω· ὦ εὔγεω·

Τετάρτη κλίσις·

Τετάρτη κλίσις ἐπὶ τῶν ἰσοσυλλάβων ἀρσενι-
κῶν καὶ θηλυκῶν καὶ κοινῶν καὶ ἐπικοίνων ὀνο-
μάτων κοινῶν ληγόντων εἰς ος· καὶ οὐδετέρων
εἰς ον· ὧν ἡ γενικὴ εἰς ου· ἡ δοτικὴ εἰς ῳ· ἡ αἰτιατι-
κὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς·
ὁ λόγος· τοῦ λόγου· τῷ λόγῳ· τὸν λόγον· ὦ λόγε
κοινῶς καὶ ὦ λόγος ἀττικῶς· τὼ λόγω· τοῖν λό-
γοιν· ὦ λόγω· οἱ λόγοι· τῶν λόγων· τοῖς λόγοις·
τοὺς λόγους· ὦ λόγοι·
ἡ ὁδός· τῆς ὁδοῦ· τῇ ὁδῷ· τὴν ὁδόν· ὦ ὁδὲ καὶ ὦ
ὁδός· τὼ ὁδώ· ταῖν ὁδοῖν· ὦ ὁδώ· αἱ ὁδοί· τῶν
ὁδῶν· ταῖς ὁδοῖς· τὰς ὁδούς· ὦ ὁδοί·
ὁ καὶ ἡ ἄνθρωπος· τοῦ καὶ τῆς ἀνθρώπου· τῷ καὶ
τῇ ἀνθρώπῳ· τὸν καὶ τὴν ἄνθρωπον· ὦ ἄνθρωπε
καὶ ὦ ἄνθρωπος·
ὁ ἀετός· τοῦ ἀετοῦ· τῷ ἀετῷ· τὸν ἀετόν··
τὸ ξύλον· τοῦ ξύλου· τῷ ξύλῳ· τὸ ξύλον· ὦ ξύ

λον. Τὼ ξύλω. τοῖν ξύλοιν. ὦ ξύλω. Τὰ ξύλα
τῶν ξύλων. τοῖς ξύλοις. τὰ ξύλα. ὦ ξύλα.
Σημείωσαι δὲ ὅτι ἐν τοῖς οὐδετέροις ὀνόμασι τρεῖς
πτώσεις εἰσὶν ὅμοιαι ἐν παντὶ ἀριθμῷ. ὀνομα
στικὴ αἰτιατικὴ καὶ κλητικὴ. Πέμπτη κλίσις.
Πέμπτη κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλά-
βων ὀνομάτων ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδε
τέρων κοινῶν καὶ ἐπικοίνων. διαφόρους κατα-
λήξεις ἐχόντων. ὧν ἡ γενικὴ εἰς ος ἡ δοτικὴ εἰς ι
ἡ αἰτιατικὴ εἰς α.
Ὁ αἴας. τοῦ αἴαντος. τῷ αἴαντι. τὸν αἴαντα. ὦ αἶ-
αν κοινῶς καὶ ὦ αἴας ἀττικῶς. Τὼ αἴαντε. τοῖν
αἰάντοιν. ὦ αἴαντε. Οἱ αἴαντες. τῶν αἰάντων. τοῖς
αἴασι. τοὺς αἴαντας. ὦ αἴαντες.
Ἡ τρυγὼν. τῆς τρυγόνος. τῇ τρυγόνι. τὴν τρυγό-
να. ὦ τρυγὼν. Τὰ τρυγόνε. ταῖν τρυγόνοιν. ὦ
τρυγόνε. Αἱ τρυγόνες. τῶν τρυγόνων. ταῖς τρυ
γόσι. τὰς τρυγόνας. ὦ τρυγόνες.
Τὸ βῆμα. τοῦ βήματος. τῷ βήματι. τὸ βῆμα.
ὦ βῆμα. Τὼ βήματε. τοῖν βημάτοιν. ὦ βήματε
Τὰ βήματα. τῶν βημάτων. τοῖς βήμασι. τὰ βή
ματα. ὦ βήματα.
Καταλήξεις διάφοροι τῶν ὀνομάτων τῆς πέμ-
πτης κλίσεως.
Ὁ θόας. τοῦ θόαντος. τῷ θόαντι. τὸν θόαντα. ὦ θό

ἄν · καὶ ὦ θόας ·
Ὁ λάχης · τοῦ λάχητος · τῷ λάχητι · τὸν λάχητα ·
ὦ λάχη καὶ ὦ λάχης ·
Ὁ πάρις · τοῦ πάριδος · τῷ πάριδι · τὸν πάριδα
καὶ πάριν · ὦ πάρι καὶ ὦ πάρις ·
Ὁ χαρίεις · τοῦ χαρίεντος · τῷ χαρίεντι · τὸν χαρί
εντα · ὦ χαρίεν καὶ ὦ χαρίεις · καὶ ὦ χαρίεν ·
Ὁ ὠκὺς · τοῦ ὠκέος · τῷ ὠκεῖ · τὸν ὠκέα καὶ ὠκὺν ·
ὦ ὠκὺ καὶ ὦ ὠκὺς ·
Ὁ βότρυς · τοῦ βότρυος τῷ βότρυϊ · τὸν βότρυα
Ὁ βοῦς · τοῦ βοὸς τῷ βοῒ τὸν βόα καὶ βοῦν ὦ βοῦ
Ὁ ἱδρὼς · τοῦ ἱδρῶτος · τῷ ἱδρῶτι · τὸν ἱδρῶτα ·
Ὁ ἥρως · τοῦ ἥρωος · τῷ ἥρωϊ · τὸν ἥρωα · ὦ ἥρως ·
Ὁ ἅλς · τοῦ ἁλὸς · τῷ ἁλὶ · τὸν ἅλα · ὦ ἅλς ·
Ὁ τίρυνς · τοῦ τίρυνθος · τῷ τίρυνθι · τὸν τίρυνθα ·
Ὁ παιὰν · τοῦ παιᾶνος · τῷ παιᾶνι · τὸν παιᾶνα
Ὁ ποιμὴν · τοῦ ποιμένος τῷ ποιμένι τὸν ποιμένα
Ὁ ἕλλην · τοῦ ἕλληνος · τῷ ἕλληνι · τὸν ἕλληνα ·
Ὁ δελφὶν · τοῦ δελφῖνος τῷ δελφῖνι τὸν δελφῖνα
Ὁ φόρκυν · τοῦ φόρκυνος τῷ φόρκυνι τὸν φόρκυνα
Ὁ θέων · τοῦ θέωνος · τῷ θέωνι · τὸν θέωνα · ὦ θέων
Ὁ ξενοφῶν · τοῦ ξενοφῶντος · τῷ ξενοφῶντι ·
Ὁ θώραξ · τοῦ θώρακος · τῷ θώρακι · τὸν θώρακα ·
Ὁ ἅρπαξ · τοῦ ἅρπαγος · τῷ ἅρπαγι ·
Ὁ μύρμηξ · τοῦ μύρμηκος · τῷ μύρμηκι ·

Ὁ βουπλὴξ· τοῦ βουπλῆγος· τῷ βουπλῆγι·
Ὁ πέρδιξ· τοῦ πέρδικος· τῷ πέρδικι·
Ὁ δοίδυξ· τοῦ δοίδυκος· τῷ δοίδυκι·
Ὁ πτὼξ· τοῦ πτωκὸς· τῷ πτωκὶ· τὸν πτῶκα
Ὁ λουτὴρ· τοῦ λουτῆρος· τῷ λουτῆρι τὸν λουτῆρα
Ὁ αἰθὴρ· τοῦ αἰθέρος· τῷ αἰθέρι· τὸν αἰθέρα·
Ὁ ἴβηρ· τοῦ ἴβηρος· τῷ ἴβηρι· τὸν ἴβηρα·
Ὁ μέστωρ· τοῦ μέστορος· τῷ μέστορι· τὸν μέστορα
Ὁ ἄραψ· τοῦ ἄραβος· τῷ ἄραβι·
Ὁ λὶψ· τοῦ λιβὸς· τῷ λιβὶ· τὸν λίβα·
Ὁ μέροψ· τοῦ μέροπος· τῷ μέροπι·
Ὁ κύκλωψ· τοῦ κύκλωπος· τῷ κύκλωπι· τὸν
κύκλωπα· ὦ κύκλωψ· Θηλυκά·
Ἡ ἀκράγας· τῆς ἀκράγαντος· τῇ ἀκράγαντι· τὴν
ἀκράγαντα·
Ἡ τροιζὼν· τῆς τροιζῆνος· τῇ τροιζῆνι·
Ἡ σαλαμὶν· τῆς σαλαμῖνος· τῇ σαλαμῖνι·
Ἡ γόρτων· τῆς γόρτωνος· τῇ γόρτωνι· τὴν γόρτωνα
Ἡ τρήρων· τῆς τρήρωνος· τῇ τρήρωνι·
Ἡ ἀηδὼν· τῆς ἀηδόνος· τῇ ἀηδόνι· τὴν ἀηδόνα·
Ἡ αὖλαξ· τῆς αὔλακος· τῇ αὔλακι· τὴν αὔλακα
Ἡ χάληξ· τῆς χάληκος· τῇ χάληκι·
Ἡ ἀλώπηξ· τῆς ἀλώπεκος· τῇ ἀλώπεκι·
Ἡ κύλιξ· τῆς κύλικος· τῇ κύλικι·
Ἡ μάστιξ· τῆς μάστιγος· τῇ μάστιγι·

Ἡ φλὸξ· τῆς φλογός· τῇ φλογί·
Ἡ ἄντυξ· τῆς ἄντυγος· τῇ ἄντυγι·
Ἡ δάμαρ· τῆς δάμαρτος· τῇ δάμαρτι·
Ἡ χεὶρ· τῆς χειρὸς· τῇ χειρὶ· τὴν χεῖρα·
Ἡ μήτηρ· τῆς μητέρος καὶ μητρὸς τῇ μητέρι καὶ μητρὶ· τὴν μητέρα· ὦ μῆτερ·
Ἡ λαμπὰς· τῆς λαμπάδος· τῇ λαμπάδι·
Ἡ δαὶς· τῆς δαιτὸς· καὶ ἡ παῖς παιδὸς·
Ἡ φιλότης· τῆς φιλότητος· τῇ φιλότητι·
Ἡ μῆνις· τῆς μήνιδος τῇ μήνιδι τὴν μήνιδα καὶ μῆνιν· Ἡ κόνις· τῆς κόνιος· τῇ κόνιϊ·
Ἡ κλαὶς· τῆς κλαιδὸς· τὴν κλαῖδα καὶ κλαῖν·
Ἡ χλαμὺς· τῆς χλαμύδος· τῇ χλαμύδι·
Ἡ ἐριννὺς· τῆς ἐριννύος· τῇ ἐριννύϊ·
Ἡ γένυς· τῆς γένυος· τῇ γένυϊ·
Ἡ δάμαρς· τῆς δάμαρτος· Ἡ ἅλς· τῆς ἁλὸς·
Ἡ τίρυνς· τῆς Τίρυνθος· Ἡ ὂψ· τῆς ὀπὸς·
Ἡ φλὲψ· τῆς φλεβὸς· Οὐδέτερα·
Τὸ βῆμα· τοῦ βήματος· τῷ βήματι· τὸ βῆμα·
Τὸ μέλι· τοῦ μέλιτος· τῷ μέλιτι·
Τὸ πῶυ· τοῦ πώεος· τῷ πώεϊ·
Τὸ δόρυ· τοῦ δόρυος καὶ δουρὸς· τῷ δόρυϊ καὶ δουρὶ· Τὸ πᾶν· τοῦ παντός·
Τὸ μέλαν τοῦ μέλανος Τὸ χαρίεν τοῦ χαρίεντος
Τὸ τιθὲν τοῦ τιθέντος Τὸ τυπτοῦν τοῦ τυπτοῦντος

Τὸ ζαγμὼ· τοῦ ζαγμώτος. Τὸ μεῖζον· τοῦ μείζονος. Τὸ εὔδαιμον· τοῦ εὐδαίμονος.
Τὸ δέλεαρ· τοῦ δελέατος. Τὸ ἧπαρ· τοῦ ἥπατος Τὸ νέκταρ τοῦ νέκταρος. Τὸ κῆρ τοῦ κηρὸς
Τὸ πῦρ· τοῦ πυρὸς. Τὸ ἕλωρ· τοῦ ἕλωρος.
Τὸ ὕδωρ· τοῦ ὕδατος· τῷ ὕδατι· τὸ ὕδωρ.
Τὸ ἦτορ· τοῦ ἤτορος. Τὸ ἅλας· τοῦ ἅλατος.
Τὸ σταῖς· τοῦ σταιτὸς. Τὸ τεῖχος· τοῦ τείχεος.
Τὸ τετυφὸς· τοῦ τετυφότος. Τὸ φῶς· τοῦ φωτὸς
Καὶ ταῦτα μὲν περὶ τῶν ἁπλῶν κλίσεων· νῦν δὲ περὶ τῶν συνῃρημένων λέγωμεν.

Περὶ τῶν συνῃρημένων κλίσεων.

Εἰσὶ καὶ ἄλλαι πέντε κλίσεις συνῃρημέναι καλούμεναι· ἀπὸ τῆς πέμπτης κλίσεως κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι. Συναίρεσις δέ ἐστι δύο φωνηέντων φυλαττομένων συναλοιφή· οἷον δημοσθένει ει. Κρᾶσις ἐστὶ δύο φωνηέντων ἀλλοιουμένων συναλοιφή· οἷον δημοσθένεα η· ἢ τοῦ ἐνὸς οἷον δημοσθένεος ους. Πρώτη κλίσις.

Πρώτη κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν καὶ θηλυκῶν καὶ κοινῶν ὀνομάτων ληγόντων εἰς ης· καὶ οὐδετέρων εἰς ες καὶ εἰς ος ὧν ἡ γενικὴ διὰ τοῦ εος οὖσα ἰωνικῶς εἰς ους κοινῶς κιρνᾶται.
Ὁ δημοσθένης· τοῦ δημοσθένεος ους· τῷ δημοσθένει ει· τὸν δημοσθένεα η· ὦ δημόσθενες καὶ ὦ δη-

μοσθένης· Τὼ δημοσθένεε η· τοῖν δημοσθενέοιν οῖν· ὦ δημοσθένεε η· Οἱ δημοσθένεες εις· Τῶν δημοσθενέων ῶν· Τοῖς δημοσθένεσι· Τοὺς δημοσθένεας εις· ὦ δημοσθένεες εις·

Ἡ τριήρης· Τῆς τριήρεος· Τῇ τριήρεϊ·

Ὁ καὶ ἡ ἀληθής· Τοῦ καὶ τῆς ἀληθέος οῦς· Τῷ καὶ τῇ ἀληθέϊ ει· Τὸν καὶ τὴν ἀληθέα η· ὦ ἀληθὲς καὶ ὦ ἀληθής· Τὼ καὶ τὰ ἀληθέε η· Τοῖν καὶ ταῖν ἀληθέοιν οῖν· ὦ ἀληθέε η· Οἱ καὶ αἱ ἀληθέες εις· τῶν ἀληθέων ῶν· Τοῖς καὶ ταῖς ἀληθέσι· Τοὺς καὶ τὰς ἀληθέας εις· ὦ ἀληθέες εις·

Τὸ ἀληθὲς τοῦ ἀληθέος οῦς· Τῷ ἀληθέϊ ει· Τὸ ἀληθὲς· ὦ ἀληθὲς· Τὼ ἀληθέε η· Τοῖν ἀληθέοιν οῖν· ὦ ἀληθέε η· Τὰ ἀληθέα η· Τῶν ἀληθέων ῶν· τοῖς ἀληθέσι· Τὰ ἀληθέα η· ὦ ἀληθέα η·

Τὸ τάχος· Τοῦ τάχεος ους· Τῷ τάχεϊ ει· Τὸ τάχος· ὦ τάχος· Τὼ τάχεε η· Τοῖν ταχέοιν οῖν· ὦ τάχεε η· Τὰ τάχεα η· Τῶν ταχέων ῶν· Τοῖς τάχεσι· Τὰ τάχεα η· ὦ τάχεα η·

Δευτέρα κλίσις·

Δευτέρα κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν καὶ θηλυκῶν καὶ κοινῶν καὶ ἐπικοίνων ὀνομάτων εἰς ις ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ ιος κοινῶς καὶ εος ἰωνικῶς καὶ εως ἀττικῶς γίνεται·

Ὁ ὄφις τοῦ ὄφιος κοινῶς· καὶ ὄφεος ἰωνικῶς καὶ

ὄφεως ἀττικῶς. τῷ ὄφιϊ ι. καὶ ὄφει ἀ. τὸν ὄφιν
μόνως. ὦ ὄφι κοινῶς καὶ ὦ ὄφις ἀττικῶς. Τὼ
ὄφιε καὶ ὄφεε η. Τοῖν ὀφίοιν καὶ ὀφέοιν καὶ ὄφεων
ὦ ὄφιε καὶ ὄφεε η. Οἱ ὄφιες ις. καὶ ὄφεες ἀς. Τῶν
ὀφίων καὶ ὀφέων καὶ ὄφεων. Τοῖς ὄφισι καὶ ὄφεσι
τοὺς ὄφιας ις καὶ ὄφεας ἀς. ὦ ὄφιες ις καὶ ὄφε
ες ἀς.

Ἡ πόλις τῆς πόλιος κοινῶς καὶ πόλεος ἰωνικῶς
καὶ πόλεως ἀττικῶς. Τῇ πόλιϊ ι καὶ πόλει ἀ.
τὴν πόλιν μόνως. ὦ πόλι καὶ ὦ πόλις. Τὼ πό
λιε καὶ πόλεε η. τοῖν πολίοιν καὶ πολέοιν καὶ
πόλεων. ὦ πόλιε καὶ πόλεε η. Αἱ πόλιες ις.
καὶ πόλεες ἀς. Τῶν πολίων καὶ πολέων καὶ πό
λεων. Ταῖς πόλισι καὶ πόλεσι. Τὰς πόλιας ις.
καὶ πόλεας ἀς. ὦ πόλιες ις καὶ πόλεες ἀς.

Τὸ σίνηπι. Τοῦ σινήπιος κοινῶς καὶ σινήπεος ἰω
νικῶς καὶ σινήπεως ἀττικῶς. Τῷ σινήπιϊ ι καὶ
σινήπει ἀ. Τὸ σίνηπι ὦ σίνηπι. Τὼ σινήπιε καὶ
σινήπεε η. Τοῖν σινηπίοιν καὶ σινηπέοιν καὶ σινή-
πεων. ὦ σινήπιε καὶ σινήπεε η. Τὰ σινήπια ι.
καὶ σινήπεα η. Τῶν σινηπίων καὶ σινηπέων καὶ σι
νήπεων. Τοῖς σινήπισι καὶ σινάπεσι. Τὰ σινήπι-
α ι καὶ σινήπεα η. ὦ σινήπια ι καὶ σινήπεα η.

Σημείωσαι δὲ ὅτι συναιρουμένης τῆς ἑνικῆς γενι
κῆς ὥσπερ ἐπὶ τῆς πρώτης κλίσεως, συναιρεῖται

καὶ κατὰ γενικὴν δυϊκὴν καὶ κατὰ πληθυντικήν. ἐκείνης δὲ
μὴ συναιρουμένης ὥσπερ ἐπὶ τῆς δευτέρας κλί
σεως, οὐδὲ αὗται συναιροῦνται. Τρίτη κλίσις.
Τρίτη κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν ὀ-
νομάτων εἰς ευς ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ εος
κοινῶς καὶ ηος ἰωνικῶς καὶ εως ἀττικῶς γίνεται.
Ὁ βασιλεύς. τοῦ βασιλέος κοινῶς καὶ βασιλῆος ἰ
ωνικῶς καὶ βασιλέως ἀττικῶς. τῷ βασιλέϊ καὶ
βασιλῆϊ καὶ βασιλεῖ. τὸν βασιλέα καὶ βασιλῆα.
ὦ βασιλεῦ καὶ ὦ βασιλεύς. Τὼ βασιλέε καὶ βα-
σιλῆε ἤ. τοῖν βασιλέοιν καὶ βασιλήοιν. ὦ βασι-
λέε καὶ βασιλῆε ἤ. Οἱ βασιλέες καὶ βασιλῆες καὶ
βασιλεῖς. τῶν βασιλέων καὶ βασιλήων. τοῖς βα
σιλεῦσι καὶ βασιλῆσι. τοὺς βασιλέας καὶ βασι-
λῆας καὶ βασιλεῖς. ὦ βασιλέες καὶ βασιλῆες καὶ
βασιλεῖς.

Τετάρτη κλίσις.

Τετάρτη κλίσις ἐστὶ τῶν συνῃρημένων θηλυκῶν ὀ
νομάτων εἰς ω καὶ εἰς ως ληγόντων. ὧν ἡ γενικὴ
διὰ τοῦ οος οὖσα εἰς ους κατὰ κρᾶσιν γίνεται.
Ἡ λητώ. τῆς λητόος οῦς. τῇ λητόϊ οῖ. τὴν λητόα ῶ
ὦ λητοῖ. Τὰ λητώ. ταῖν λητοῖν. ὦ λητώ. Αἱ λη-
τοί. τῶν λητῶν. ταῖς λητοῖς. τὰς λητούς. ὦ λητοί
Ἡ αἰδώς. τῆς αἰδόος οῦς. τῇ αἰδόϊ οῖ. τὴν αἰδό-
α ῶ. ὦ αἰδοῖ Τὰ αἰδώ. ταῖν αἰδοῖν. ὦ αἰδώ. Αἱ

αἰδοῖ· τῶν αἰδῶν· ταῖς αἰδοῖς· τὰς αἰδοῦς· ὦ αἰ-
δοῖ. Πέμπτη κλίσις.

Πέμπτη κλίσις ἐστὶ τῶν συνῃρημένων οὐδετέρων
ὀνομάτων εἰς ας καὶ εἰς ρας ληγόντων· ὧν ἡ γε-
νικὴ διὰ τοῦ ατος κοινῶς καὶ αος ἰωνικῶς καὶ
ως ἀττικῶς γίνεται.

Τὸ κρέας· τοῦ κρέατος κοινῶς καὶ κρέαος ἰωνι-
κῶς καὶ κρέως ἀττικῶς· τῷ κρέατι καὶ κρέαϊ καὶ
κρέᾳ· τὸ κρέας· ὦ κρέας. Τὼ κρέατε καὶ κρέαε καὶ
κρέα· τοῖν κρεάτοιν καὶ κρεάοιν καὶ κρεῷν· ὦ κρέ-
ατε καὶ κρέαε καὶ κρέα. Τὰ κρέατα καὶ κρέαα
καὶ κρέα· τῶν κρεάτων καὶ κρεάων καὶ κρεῶν·
τοῖς κρέασι· τὰ κρέατα καὶ κρέαα καὶ κρέα· ὦ
κρέατα καὶ κρέαα καὶ κρέα.

Τὸ κέρας· τοῦ κέρατος κοινῶς καὶ κέραος ἰωνι-
κῶς καὶ κέρως ἀττικῶς· τῷ κέρατι καὶ κέραϊ καὶ
κέρᾳ· τὸ κέρας· ὦ κέρας· καὶ τὰ λοιπὰ ὁμοίως
τῷ κρέατι.

Σημείωσαι ὅτι τὰ εἰς οος ὀνόματα συναιροῦνται
ἐν πάσαις ταῖς πτώσεσιν.

Ὁ νόος οῦς· τοῦ νόου οῦ· τῷ νόῳ ῷ· τὸν νόον οῦν·
ὦ νόε οῦ. Τὼ νόω ώ· τοῖν νόοιν οῖν· ὦ νόω ώ.
Οἱ νόοι οῖ· τῶν νόων ῶν· τοῖς νόοις οῖς· τοὺς νό-
ους οῦς· ὦ νόοι οῖ. Οὕτω καὶ ὁ πλόος οῦς καὶ ῥό-
ος οῦς· καὶ χρόος οῦς· καὶ ἁπλόος οῦς· καὶ δι-

πλόος οὖς καὶ τρίπλοος οὖς· ὧν καὶ τὰ οὐδέτε
ρα συναιροῦνται·

Τὸ ἁπλόον οὖν· τοῦ ἁπλόου οὖ· τῷ ἁπλόῳ ῷ
τὸ ἁπλόον οὖν· τὰ ἁπλόα ᾶ· τῶν ἁπλόων ῶν
τοῖς ἁπλόοις οῖς· τὰ ἁπλόα ᾶ· ὦ ἁπλόα ᾶ·

Ἡ ναῦς· τῆς ναὸς καὶ νηὸς καὶ νεώς· τῇ ναῒ καὶ νηὶ
τὴν ναῦν καὶ νηῦν καὶ νῆα· ὦ ναῦς καὶ νηῦς· Αἱ νᾶ
ες καὶ νῆες καὶ νέες· τῶν ναῶν καὶ νηῶν καὶ νεῶν·
ταῖς ναυσὶ καὶ νηυσὶ καὶ νήεσσι· τὰς νῆας καὶ ναῦς
καὶ νηῦς καὶ νέας· ὦ νᾶες καὶ νῆες καὶ νέες·

Ἡ γραῦς· τῆς γραὸς καὶ γρηὸς· τῇ γραῒ καὶ γρηὶ·
τὴν γραῦν καὶ γρηῦν· ὦ γραῦς καὶ γρηῦς· Αἱ γρᾶες
καὶ γρῆες· τῶν γραῶν καὶ γρηῶν καὶ γρεῶν· ταῖς
γραυσὶ καὶ γρηυσὶ καὶ γρήεσσι· τὰς γραῦς καὶ γρηῦς
ὦ γρᾶες καὶ γρῆες·

Περὶ τῶν συναιρέσεων καὶ κράσεων·

Τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται· οἷον
Δημοσθένεος ους· Τὸ ο καὶ ε εἰς ου κιρνᾶται
οἷον βόες βοῦς· Τὸ ε καὶ ι εἰς ει συναιρεῖται· οἷ
ον Δημοσθένεϊ ει· Τὸ ε καὶ α ἐν μὲν τῇ ἑνικῇ αἰτι
ατικῇ εἰς η κιρνᾶται· οἷον Δημοσθένεα η· ἐν δὲ
τῇ πληθυντικῇ εἰς ει δίφθογγον· οἷον Δημοσθένε
ας εις· Τὰ δύο εε ἐν μὲν τῇ ὀνομαστικῇ δυϊκῇ
εἰς η κιρνᾶται οἷον Δημοσθένεε η· ἐν δὲ τῇ πλη-
θυντικῇ εἰς ει οἷον Δημοσθένεες εις· Τὸ ε καὶ οι

εἰς οι κιρνᾶται, οἷον δημοσθενέοιν οιν. Τὸ ε καὶ ω εἰς ω κιρνᾶται, οἷον δημοσθενέων ῶν. Τὸ ε καὶ α ἐν τῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ καὶ κλητικῇ τῶν συγκεκριμένων οὐδετέρων εἰς η κιρνᾶται, οἷον τὰ τείχεα η· τὰ ἀληθέα η. Τὰ δύο βραχέα ιι εἰς ἓν μακρὸν κιρνᾶται, οἷον τῷ ὄφιι ι. Τὸ ι καὶ ε εἰς ι μακρὸν κιρνᾶται, οἷον ὄφιες ις. Τὸ ι καὶ α εἰς ι μακρὸν κιρνᾶται, οἷον ὄφιας ις. Τὰ δύο οο εἰς ου κιρνᾶται· οἷον λητόος οῦς. Τὸ ο καὶ ι εἰς οι συναιρεῖται, οἷον λητόϊ οῖ. Τὸ ο καὶ α εἰς ω κιρνᾶται, οἷον λητόα ῶ Τὸ α καὶ ο εἰς ω κιρνᾶται, οἷον κρέαος ως. Τὸ ι καὶ α εἰς α μακρὸν κιρνᾶται, οἷον κρέαϊ α. Τὸ α καὶ ε εἰς α μακρὸν κιρνᾶται, οἷον κρέαε α. Τὸ α καὶ ο τῆς οι διφθόγγου εἰς ω μέγα κιρνᾶται. Τὸ δὲ ι προσγράφεται, οἷον κρεάοιν ῳν Τὸ α καὶ ω εἰς ω κιρνᾶται, οἷον κρεάων ῶν. Τὸ υ καὶ ε εἰς υ μακρὸν κιρνᾶται, οἷον βότρυες βότρυς. Ἔτι τὸ υ καὶ α, οἷον βότρυας υς.

Περὶ τῶν ἀριθμητικῶν ὀνομάτων.

Τούτων οὕτως εἰρημένων εἰδέναι δεῖ ὅτι τὰ ἓν σημαίνοντα ἀριθμητικὰ ὀνόματα ἑνικῶς μόνον κλίνονται· τὰ δὲ δύο δυϊκῶς· τὰ δὲ πλείω πληθυντικῶς· ὧδε.

Εἷς· ἑνός· ἑνί· ἕνα· Μία· μιᾶς· μιᾷ· μίαν.

Ἓν · ἑνός · ἑνὶ · ἕν · Δύο · δυοῖν · καὶ τὸ δύο οὐ μό
νον δυϊκῶς λέγεται ἀλλὰ καὶ πληθυντικῶς · οὕ-
τως · Οἱ δύο · αἱ δύο · τὰ δύο · τῶν δύο · τοῖς
δυσὶ · τοὺς δύο · τὰς δύο · τὰ δύο ·
Τρεῖς · τριῶν · τρισὶ · τρεῖς ·
Τρία · τριῶν · τρισὶ · τρία ·
Τέσσαρες · τεσσάρων · τέσσαρσι · τέσσαρας ·
Τέσσαρα · τεσσάρων · τέσσαρσι · τέσσαρα ·
Ἀπὸ δὲ τῶν τεσσάρων μέχρι καὶ ἑκατὸν πᾶς ἀρι
θμὸς ἄκλιτος τυγχάνει · ἀπὸ τῶν ἄρθρων δὲ δια
κρίνομεν τὰ γένη καὶ τὰς πτώσεις · οἷον Οἱ πέντε
τῶν πέντε · τοῖς πέντε · τοὺς πέντε Αἱ πέντε · τῶν
πέντε · ταῖς πέντε · τὰς πέντε · Τὰ πέντε · τῶν
πέντε · τοῖς πέντε · τὰ πέντε · ὁμοίως καὶ ἕξ · καὶ
ἑπτὰ · καὶ ὀκτὼ · καὶ ἐννέα · καὶ δέκα · καὶ τὰ
λοιπά · Ἀπὸ δὲ τῶν διακοσίων κλίνεται πᾶς
ἀριθμὸς πληθυντικὸς τριγενῶς · οἷον Οἱ διακό
σιοι · τῶν διακοσίων · τοῖς διακοσίοις τοὺς δια
κοσίους · Αἱ διακόσιαι · τῶν διακοσίων · ταῖς δι
ακοσίαις · τὰς διακοσίας Τὰ διακόσια · τῶν δι
ακοσίων · τοῖς διακοσίοις · τὰ διακόσια · ὁμοί
ως καὶ τετρακόσιοι · πεντακόσιοι · ἑξακόσιοι ·
ἑπτακόσιοι · ὀκτακόσιοι · ἐννεακόσιοι · χίλιοι ·
δισχίλιοι · τρισχίλιοι · τετρακισχίλιοι · πεντα
κισχίλιοι · καὶ τὰ λοιπά ·

De terminationibus adiectivorum

Περὶ τῶν καταλήξεων τῶν ἐπιθέτων.

Τῶν ἐπιθέτων τὰ μὲν, εἰς ας οἷον ὁ πᾶς τοῦ παντός. ἡ πᾶσα τῆς πάσης. τὸ πᾶν τοῦ παντός. τὰ δὲ, εἰς ης οἷον ὁ καὶ ἡ ἀληθὴς ἀληθέος οὖς. καὶ τὸ ἀληθὲς τοῦ ἀληθέος οὖς. τὰ δὲ, εἰς ην οἷον ὁ καὶ ἡ τέρην τέρενος. καὶ τὸ τέρεν τοῦ τέρενος. τὰ δὲ εἰς εις οἷον ὁ χαρίεις τοῦ χαρίεντος. ἡ χαρίεσσα τῆς χαριέσσης. τὸ χαρίεν τοῦ χαρίεντος. τὰ δὲ εἰς ις οἷον ὁ καὶ ἡ φιλόπατρις φιλοπάτριδος. καὶ τὸ φιλόπατρι τοῦ φιλοπάτριδος. τὰ δὲ, εἰς ος οἷον ὁ ἀνδρεῖος τοῦ ἀνδρείου. ἡ ἀνδρεία τῆς ἀνδρείας. τὸ ἀνδρεῖον τοῦ ἀνδρείου. ὁ σοφὸς ἡ σοφὴ τὸ σοφόν. καὶ ἀττικῶς ὁ καὶ ἡ φιλόσοφος καὶ τὸ φιλόσοφον. ὁ καὶ ἡ φιλόκαλος καὶ τὸ φιλόκαλον. δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ος καθαρὸν ἐπίθετα ποιοῦσι θηλυκὸν εἰς α οἷον ἀνδρεῖος ἀνδρεία. λόγιος λογία. τὰ δὲ μὴ εἰς ος καθαρὸν εἰς η οἷον σοφὸς σοφή ἀγαθὸς ἀγαθή. πλὴν τῶν ἐχόντων τὸ ρ οἷον φοβερὸς φοβερά. τὰ δὲ εἰς ους οἷον ὁ καὶ ἡ πολύπους πολύποδος καὶ τὸ πολύπουν τοῦ πολύποδος. ἁπλοῦς δὲ ἁπλῆ ἁπλοῦν οὕτω κλίνεται.

ὁ ἁπλόος οὖς. τοῦ ἁπλόου οῦ. τῷ ἁπλόῳ ῷ. τὸν ἁπλόον οῦν. καὶ τὰ λοιπά. ὡς εἴρηται. ἡ ἁπλῆ τῆς ἁπλῆς. τὸ ἁπλόον οὖν τοῦ ἁπλό

ου οῦ. ὁμοίως καὶ χρυσοῦς χρυσῆ χρυσοῦν. ἀργυροῦς ἀργυρᾶ ἀργυροῦν. χαλκοῦς χαλκῆ χαλκοῦν. μολιβδοῦς μολιβδῆ μολιβδοῦν. ἀτίναἰωνικῶς χρύσεος χρυσέα χρύσεον λέγονται. καὶ ἀργύρεος ἀργυρέα ἀργύρεον. Τὰ δὲ εἰς υς οἷον ὁ ἡδὺς ἡ ἡδεῖα τὸ ἡδύ. καὶ ὁ καὶ ἡ ἄδακρυς καὶ τὸ ἄδακρυ. Τὰ δὲ εἰς ων οἷον ὁ καὶ ἡ εὐδαίμων ἀδαίμονος καὶ τὸ εὔδαιμον τοῦ εὐδαίμονος. Τὰ δὲ εἰς ως οἷον ὁ καὶ ἡ εὔγεως εὔγεω καὶ τὸ εὔγεων τοῦ εὔγεω.

Ἀλλὰ περὶ μὲν τῆς κλίσεως τῶν ὀνομάτων ἱκανῶς. νῦν δὲ περὶ τοῦ ῥήματος λέγωμεν.

ΠΕΡΙ ΤΟΥ ῬΗΜΑΤΟΣ.

ῆμά ἐστι μέρος λόγου κλιτὸν μετὰ διαφόρων χρόνων ἐνέργειαν ἢ πάθος ἢ οὐδέτερον τι σημαῖνον. Παρέπονται δὲ αὐτῷ ὀκτώ· ἐγκλίσεις· γένος· ἤτε διάθεσις· εἶδος· σχῆμα· ἀριθμός· πρόσωπον· χρόνος· καὶ συζυγία·

Ἐγκλίσεις·

Ἐγκλίσεις εἰσὶ πέντε· ὁριστικὴ οἷον τύπτω· προστακτικὴ οἷον τύπτε· εὐκτικὴ οἷον εἴθε τύπτοιμι· ὑποτακτικὴ οἷον ἐὰν τύπτω· ἀπαρέμφατος οἷον τύπτειν·

Γένη·

Γένη εἰσὶ πέντε· ἐνεργητικὸν οἷον τύπτω· παθητικὸν οἷον τύπτομαι· οὐδέτερον οἷον ὑγιαίνω· κοινὸν ἢ μέσον οἷον βιάζομαι· ἀποθετικὸν οἷον μάχομαι·

Εἴδη·

Εἴδη δὲ δύο· πρωτότυπον οἷον ἄρδω· παράγωγον οἷον ἀρδάω·

Σχήματα·

Σχήματα δὲ τρία, ἁπλοῦν οἷον φέρω· σύνθετον οἷον ἐπιφέρω· παρασύνθετον οἷον προσεπιφέρω

Ἀριθμοί

Ἀριθμοὶ δὲ τρεῖς· ἑνικὸς οἷον τύπτω· δυϊκὸς οἷον τύπτετον· πληθυντικὸς οἷον τύπτομεν·

Πρόσωπα·

Πρόσωπα δὲ τρία· πρῶτον οἷον τύπτω· δεύτερον οἷον τύπτεις· τρίτον οἷον τύπτει·

Χρόνοι.

Χρόνοι δὲ ἕξ· ἐνεστὼς οἷον τύπτω· παρατατικὸς οἷον ἔτυπτον· παρακείμενος οἷον τέτυφα· ὑπερσυντέλικος οἷον ἐτετύφειν· ἀόριστος οἷον ἔτυψα· μέλλων οἷον τύψω.

Συζυγίαι.

Συζυγίαι δὲ δεκατρεῖς· ἓξ τῶν βαρυτόνων ῥημάτων· τρεῖς τῶν περισπωμένων καὶ τέσσαρες τῶν εἰς μι.

Πρώτη.

Πρώτη συζυγία ἐστὶ τῶν βαρυτόνων ῥημάτων· τῶν ληγόντων εἰς β· π· φ· πτ· οἷον λείβω· τέρπω· γράφω· τύπτω· ὧν ὁ μέλλων εἰς ψ· οἷον λείψω· τέρψω· γράψω· τύψω· ὁ παρακείμενος εἰς φα· οἷον λέλειφα· τέτερφα· γέγραφα· τέτυφα.

Δευτέρα.

Δευτέρα ἐστὶ τῶν ληγόντων εἰς γ· κ· χ· κτ· οἷον λέγω· πλέκω· τρέχω· τίκτω· ὧν ὁ μέλλων εἰς ξ· οἷον λέξω· πλέξω· τρέξω· τέξω· ὁ παρακείμενος εἰς χα· οἷον λέλεχα· πέπλεχα· τέτρεχα· τέτεχα.

Τρίτη.

Τρίτη ἐστὶ τῶν ληγόντων εἰς δ θ ἐν τ κοινῶς καὶ δύο ττ ἀττικῶς· οἷον ᾄδω· πλήθω· ἀνύττω· ὧν ὁ μέλλων εἰς σ· οἷον ᾄσω· πλήσω· ἀνύσω· ὁ παρακείμενος εἰς κα· οἷον ᾖκα· πέπληκα· ἤνυκα.

Τετάρτη.

Τετάρτη ἐστὶ τῶν εἰς ζ καὶ δύο σσ κοινῶς· οἷον

φράζω ὀρύσσω· καὶ τὰ μὲν εἰς ζω ποτὲ μὲν τὸ ξ
ἐν τῷ μέλλοντι ἔχουσιν· οἷον παίζω παίξω·
κράζω κράξω· σφάζω σφάξω· στίζω στίξω·
τρύζω τρύξω· οἰμώζω οἰμώξω· στενάζω στενά-
ξω· στηρίζω στηρίξω· αἰάζω αἰάξω· ἀλαπάζω
ἀλαπάξω· ὀλολύζω ὀλολύξω· ὧν ὁ παρακεί-
μενος τὸ χ ἔχει· ποτὲ δὲ τὸ σ ἐν τῷ μέλλοντι
ἔχουσιν οἷον φράζω φράσω· κτίζω κτίσω· κο-
μίζω κομίσω· βαδίζω βαδίσω· ἀγωνίζω ἀ-
γωνίσω· ἑλληνίζω ἑλληνίσω· φιλιππίζω φιλι-
ππίσω· ὧν ὁ παρακείμενος τὸ κ ἔχει· τὰ δὲ εἰς
σσω ὡς ἐπὶ τὸ πλεῖστον εἰς ξω τὸν μέλλοντα ποι-
οῦσιν· οἷον ὀρύσσω ὀρύξω· πλήσσω πλήξω· ὧν
ὁ παρακείμενος τὸ χ ἔχει· οἷον ὤρυχα πέπληχα·
ἐξῄρηται ταῦτα εἰς σω τὸν μέλλοντα ποιοῦντα
οἷον ἱμάσσω ἱμάσω· ἰμάσσω ἰμάσω· πλάσσω·
πλάσω· πάσσω πάσω· λάσσω λάσω· ἐρέσσω
ἐρέσω· ὧν ὁ παρακείμενος τὸ κ ἔχει·

Πέμπτη·

Πέμπτη ἐστὶ τῶν τεσσάρων ἀμεταβόλων· λ· μ· ν·
ρ· οἷον ψάλλω· νέμω· κρίνω· σπείρω· ὧν ὁ μέλ-
λων διὰ τοῦ αὐτοῦ ἀμεταβόλου περισπώμενος ἐ-
στὶ τῶν παραλήγουσαν βραχεῖαν ἐχόντων οἷον ψαλῶ
νεμῶ· κρινῶ· σπερῶ· ὁ παρακείμενος εἰς κα οἷον
ἔψαλκα· νενέμηκα· κέκρικα· ἔσπαρκα·

Ἕκτη.

Ἕκτη ἐστὶ τῶν εἰς ω καθαρὸν οἷον ἱππεύω, πλέω, βασιλεύω, ἀκούω. ὧν ὁ μέλλων εἰς σ οἷον ἱππεύσω, πλεύσω, βασιλεύσω, ἀκούσω. ὁ παρακείμενος εἰς κα οἷον ἵππευκα, πέπλευκα, βεβασίλευκα, ἤκουκα κοινῶς καὶ ἀκήκοα ἀττικῶς.

Τούτων οὕτως ἐχόντων εἰδέναι δεῖ, ὅτι πᾶν ῥῆμα ἢ εἰς ω βαρύτονον λήγει, οἷον τύπτω, γράφω, ἢ εἰς ω περισπώμενον οἷον ποιῶ, βοῶ, ἢ εἰς μι οἷον τίθημι, ἵστημι. περὶ ὧν λεκτέον καὶ πρῶτον περὶ τῆς κλίσεως τῶν βαρυτόνων.

ῬΗΜΑ ὉΡΙΣΤΙΚῸΝ ἘΝΕΡΓΗΤΙΚῸΝ ΣΥΖΥΓΊΑΣ ΠΡΩ͂ΤΗΣ ΤΩ͂Ν ΒΑΡΥΤΌΝΩΝ. Ἐνεστώς.

Τύπτω τύπτεις τύπτει / τύπτετον τύπτετον / τύπτομεν τύπτετε τύπτουσι.

Παρατατικός.

Ἔτυπτον ἔτυπτες ἔτυπτε / ἐτύπτετον ἐτυπτέτην / ἐτύπτομεν ἐτύπτετε ἔτυπτον.

Παρακείμενος

Τέτυφα τέτυφας τέτυφε / τετύφατον τετύφατον / τετύφαμεν τετύφατε τετύφασι.

Καὶ μέσος διὰ π.

Τέτυπα τέτυπας τέτυπε / τετύπατον τετύπατον / τετύπαμεν τετύπατε τετύπασι.

Ὑπερσυντέλικος.

Ἐτετύφειν ἐτετύφεις ἐτετύφει / ἐτετύφειτον ἐτετυφείτην / ἐτετύφειμεν ἐτετύφειτε ἐτετύφεισαν

Καὶ μέσος διὰ π.

Ἐτετύπειν ἐτετύπεις ἐτετύπει / ἐτετύπειτον ἐτετυπείτην / ἐτετύπειμεν ἐτύπειτε ἐτετύπεισαν.

Ἀόριστος πρῶτος.

Ἔτυψα ἔτυψας ἔτυψε / ἐτύψατον ἐτυψάτην / ἐτύψαμεν ἐτύψατε ἔτυψαν. Ἀόριστος β.

Ἔτυπον ἔτυπες ἔτυπε / ἐτύπετον ἐτυπέτην / ἐτύπομεν ἐτύπετε ἔτυπον.

Μέλλων πρῶτος.

Τύψω τύψεις τύψει / τύψετον τύψετον / τύψομεν τύψετε τύψουσι. Μέλλων δεύτερος.

Τυπῶ τυπεῖς τυπεῖ / τυπεῖτον τυπεῖτον / τυποῦμεν τυπεῖτε τυποῦσι.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Τύπτε τυπτέτω / τύπτετον τυπτέτων / τύπτετε / τυπτέτωσαν. Παρακείμενος.

Τέτυφε τετυφέτω / τετύφετον τετυφέτων / τετύφετε τετυφέτωσαν. Καὶ μέσος διὰ π.

Τέτυπε τετυπέτω / τετύπετον τετυπέτων / τετύπετε τετυπέτωσαν. Ἀόριστος πρῶτος.

Τύψον τυψάτω / τύψατον τυψάτων / τύψατε τυψάτωσαν. Ἀόριστος δεύτερος.

Τύπε τυπέτω / τύπετον τυπέτων / τύπετε τυπέτωσαν. Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Τύπτοιμι τύπτοις τύπτοι / τύπτοιτον τυπτοίτην / τύπτοιμεν τύπτοιτε τύπτοιεν. Παρακείμενος.

Τετύφοιμι τετύφοις τετύφοι / τετύφοιτον τετυφοίτην / τετύφοιμεν τετύφοιτε τετύφοιεν.

Καὶ μέσος διὰ π.

Τετύποιμι τετύποις τετύποι / τετύποιτον τετυποίτην / τετύποιμεν τετύποιτε τετύποιεν

Ἀόριστος πρῶτος.

Τύψαιμι τύψαις τύψαι / τύψαιτον τυψαίτην /

τύψαιμεν τύψαιτε τύψαιεν. Αἰολικῶς τύψα
α τύψας τύψε / τυψάτον τυψάτων / τυψά
μεν τυψάτε τύψαν.
Τύψοιμι τύψοις τύψοι. Μέλλων α.
Τυποίμι τυποῖς τυποῖ. Μέλλων β.
Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.
Ἐὰν τύπτω τύπτῃς τύπτῃ / ἐὰν τύπτητον τύπτη
τον / ἐὰν τύπτωμεν τύπτητε τύπτωσι.
Παρακείμενος.
Ἐὰν τετύφω τετύφῃς τετύφῃ / ἐὰν τετύφητον τε
τύφητον / ἐὰν τετύφωμεν τετύφητε τετύφωσι.
Καὶ μέσος διὰ π.
Ἐὰν τετύπω τετύπῃς τετύπῃ / ἐὰν τετύπητον
τετύπητον / ἐὰν τετύπωμεν τετύπητε τετύπωσι
Ἐὰν τύψω τύψῃς τύψῃ. Ἀόριστος α.
Ἐὰν τύπω τύπῃς τύπῃ. Ἀόριστος β.
Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς
Τύπτειν. Παρακείμενος. Τετυφέναι.
Καὶ μέσος διὰ π. Τετυπέναι. Ἀόριστος α.
Τύψαι. Ἀόριστος β. Τυπεῖν. Μέλλων α
Τύψειν. Μέλλων β. Τυπεῖν.
Σημείωσαι ὅτι τοῦ πληθυντικοῦ πρώτου προσώ
που τῶν ἐνεργητικῶν καὶ οὐδετέρων ῥημάτων εἰς
μεν λήγοντος, ἀπολείπει τὸ δυϊκὸν πρῶτον
πρόσωπον. Ἔτι τοῦ πληθυντικοῦ τρίτου

προσώπου λήγοντος εἰς ι ἢ εἰς αι τὰ δυϊκὰ δεύτερα καὶ τρίτα πρόσωπα ὅμοια εἰσίν· ὅτε δὲ ἄλλως ἔχει, ἀνόμοια διατελοῦσι.

Ἔτι μέλλοντες ἐν τοῖς προστακτικοῖς καὶ ὑποτακτικοῖς οὐκ εἰσίν· οἱ ἀόριστοι δὲ τὴν τῶν μελλόντων σημασίαν ἔχουσι.

Περὶ μετοχῆς.

Μετοχὴ ἐστὶ μέρος λόγου κλιτὸν τῆς ἰδιότητος τοῦ ὀνόματος καὶ τοῦ ῥήματος μετέχον. Παρέπονται δὲ αὐτῇ ὀκτώ· γένος· εἶδος· σχῆμα· ἀριθμός· πτῶσις· χρόνος· διάθεσις· καὶ συζυγία.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ τύπτων τοῦ τύπτοντος. Ἡ τύπτουσα τῆς τυπτούσης. Τὸ τύπτον τοῦ τύπτοντος.

Παρακείμενος.

Ὁ τετυφὼς τοῦ τετυφότος. Ἡ τετυφῦα τῆς τετυφύας. Τὸ τετυφὸς τοῦ τετυφότος.

Καὶ μέσος διὰ π.

Ὁ τετυπὼς τοῦ τετυπότος. Ἡ τετυπῦα τῆς τετυπύας. Τὸ τετυπὸς τοῦ τετυπότος.

Ἀόριστος πρῶτος.

Ὁ τύψας τοῦ τύψαντος. Ἡ τύψασα τῆς τυψάσης. Τὸ τύψαν τοῦ τύψαντος. Ἀόριστος β.

Ὁ τυπὼν τοῦ τυπόντος. Ἡ τυποῦσα τῆς τυπούσης. Τὸ τυπὸν τοῦ τυπόντος. Μέλλων α.

Ὁ τύψων τοῦ τύψοντος Ἡ τύψουσα τῆς τυψούσης

Τὸ τύψον τοῦ τύψοντος. Μέλλων β.

Ὁ τυπῶν τοῦ τυποῦντος. Ἡ τυποῦσα τῆς τυπούσης. Τὸ τυποῦν τοῦ τυποῦντος.

Δεῖ δὲ εἰδέναι ὅτι αἱ μετοχαὶ ἐνεργητικαὶ καὶ οὐδέτεραι ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει κατὰ τὴν πέμπτην ἁπλῶν κλίνονται κλίσιν. αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Τύπτομαι τύπτῃ τύπτεται / τυπτόμεθον τύπτεσθον τύπτεσθον / τυπτόμεθα τύπτεσθε τύπτονται. Παρατατικός.

Ἐτυπτόμην ἐτύπτου ἐτύπτετο / ἐτυπτόμεθον ἐτύπτεσθον ἐτυπτέσθην / ἐτυπτόμεθα ἐτύπτεσθε ἐτύπτοντο. Παρακείμενος.

Τέτυμμαι τέτυψαι τέτυπται / τετύμμεθον τέτυφθον τέτυφθον / τετύμμεθα τέτυφθε τετυμμένοι εἰσὶ καὶ ἰωνικῶς τετύφαται.

Μετ' ὀλίγον μέλλων.

Τετύψομαι τετύψῃ τετύψεται.

Ὑπερσυντέλικος.

Ἐτετύμμην ἐτέτυψο ἐτέτυφθο / ἐτετύμμεθον ἐτέτυφθον ἐτετύφθην / ἐτετύμμεθα ἐτέτυφθε τετυμμένοι ἦσαν καὶ ἰωνικῶς ἐτετύφατο.

Σημείωσαι δὲ ὅτι τοῦ ἑνικοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελι-

κου πρὸ τοῦ π σύμφωνον ἔχοντος διὰ τὴν ἀσυν-
ταξίαν οὐ γίνεται τρίτον πρόσωπον πληθυντι-
κόν. ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ μετοχῆς
καὶ ὑπαρκτικοῦ ῥήματος. Ἀόριστος α.

Ἐτύφθην ἐτύφθης ἐτύφθη / ἐτύφθητον ἐτυφθήτην /
ἐτύφθημεν ἐτύφθητε ἐτύφθησαν. Καὶ β διὰ π

Ἐτύπην ἐτύπης ἐτύπη / ἐτύπητον ἐτυπήτην /
ἐτύπημεν ἐτύπητε ἐτύπησαν.

Τυφθήσομαι τυφθήσῃ τυφθήσεται. Μέλλων α.

Τυπήσομαι τυπήσῃ τυπήσεται. Καὶ β διὰ π

Μέσος ἀόριστος πρῶτος.

Ἐτυψάμην ἐτύψω ἐτύψατο / ἐτυψάμεθον ἐτύ-
ψασθον ἐτυψάσθην / ἐτυψάμεθα ἐτύψασθε ἐτύ-
ψαντο. Μέσος ἀόριστος δεύτερος.

Ἐτυπόμην ἐτύπου ἐτύπετο / ἐτυπόμεθον ἐτύ-
πεσθον ἐτυπέσθην / ἐτυπόμεθα ἐτύπεσθε ἐτύπον-
το. Τύψομαι τύψῃ τύψεται. Μέσος μέλλων α

Τυποῦμαι τυπῇ τυπεῖται. Μέσος μέλλων β

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Τύπτου τυπτέσθω / τύπτεσθον τυπτέσθων / τύ-
πτεσθε τυπτέσθωσαν. Παρακείμενος.

Τέτυψο τετύφθω / τέτυφθον τετύφθων / τέτυ-
φθε τετύφθωσαν. Ἀόριστος πρῶτος.

Τύφθητι τυφθήτω / τύφθητον τυφθήτων / τύφθη-
τε τυφθήτωσαν.

Καὶ δάτερος διὰ π.

Τύπηθι τυπήτω / τύπητον τυπήτων / τύπητε
τυπήτωσαν. Μέσος ἀόριστος πρῶτος.

Τύψαι τυψάσθω / τύψασθον τυψάσθων / τύψα-
σθε τυψάσθωσαν. Μέσος ἀόριστος β.

Τυποῦ τυπέσθω / τύπεσθον τυπέσθων / τύπε-
σθε τυπέσθωσαν. Εὐκτικὰ παθητικά. Ἐνεστὼς

Τυπτοίμην τύπτοιο τύπτοιτο / τυπτοίμεθον τύ-
πτοισθον τυπτοίσθην / τυπτοίμεθα τύπτοισθε τύ-
πτοιντο. Παρακείμενος.

Τετυμμένος εἴην εἴης εἴη / τετυμμένω εἴητον εἰή-
την / τετυμμένοι εἴημεν εἴητε εἴησαν.

Μετ᾽ ὀλίγον μέλλων.

Τετυψοίμην τετύψοιο τετύψοιτο. Ἀόριστος α

Τυφθείην τυφθείης τυφθείη / τυφθείητον τυφθειή-
την / τυφθείημεν τυφθείητε τυφθείησαν.

Καὶ δάτερος διὰ π.

Τυπείην τυπείης τυπείη / τυπείητον τυπειήτην /
τυπείημεν τυπείητε τυπείησαν. Μέλλων α.

Τυφθησοίμην τυφθήσοιο τυφθήσοιτο.

Μέσος ἀόριστος πρῶτος.

Τυψαίμην τύψαιο τύψαιτο / τυψαίμεθον τύψαι-
σθον τυψαίσθην / τυψαίμεθα τύψαισθε τύψαιντο
Τυποίμην τύποιο τύποιτο. Μέσος ἀόριστος β
Τυψοίμην τύψοιο. Μέσος μέλλων α

20

Τυποίμην τύποιο τύποιτο. Μέσος μέλλων β

Ὑποτακτικὰ. παθητικά. Ἐνεστώς.

Ἐὰν τύπτωμαι τύπτῃ τύπτηται / ἐὰν τυπτώμεθον τύπτησθον τύπτησθον / ἐὰν τυπτώμεθα τύπτησθε τύπτωνται. Παρακείμενος.

Τετυμμένος ἐὰν. ὦ. ᾖς. ᾖ / τετυμμένω ἐὰν ἦτον ἦτον τετυμμένοι ἐὰν ὦμεν ἦτε ὦσι. Ἀόριστος α.

Ἐὰν τυφθῶ τυφθῇς τυφθῇ / ἐὰν τυφθῆτον τυφθῆτον / ἐὰν τυφθῶμεν τυφθῆτε τυφθῶσι.

Καὶ δεύτερος διὰ π.

Ἐὰν τυπῶ τυπῇς τυπῇ / ἐὰν τυπῆτον τυπῆτον ἐὰν τυπῶμεν τυπῆτε τυπῶσι.

Ἐὰν τύψωμαι τύψῃ τύψηται. Μέσος ἀόριστος α.

Ἐὰν τύπωμαι τύπῃ τύπηται. Μέσος ἀόριστος β

Ἀπαρέμφατα παθητικὰ. Ἐνεστώς.

Τύπτεσθαι. Παρακείμενος. Τετύφθαι. Μετ' ὀλίγον μέλλων. Τετύψεσθαι. Ἀόριστος α. Τυφθῆναι. Καὶ β διὰ π. Τυπῆναι. Μέλλων α. Τυφθήσεσθαι. Μέσος ἀόριστος α. Τύψασθαι. Μέσος ἀόριστος β. Τυπέσθαι. Μέσος μέλλων α. Τύψεσθαι. Μέσος μέλλων β. Τυπεῖσθαι.

Μετοχαὶ παθητικαὶ. Ἐνεστώς.

Ὁ τυπτόμενος τοῦ τυπτομένου. Ἡ τυπτομένη τῆς τυπτομένης. Τὸ τυπτόμενον τοῦ τυπτομένου.

Παρακείμενος.

Ὁ τετυμμένος τοῦ τετυμμένου. Ἡ τετυμμένη τῆς
τετυμμένης. Τὸ τετυμμένον τοῦ τετυμμένου.

Μετ' ὀλίγον μέλλων.

Ὁ τετυψόμενος. Ἡ τετυψομένη. Τὸ τετυψόμενον

Ἀόριστος πρῶτος.

Ὁ τυφθεὶς τοῦ τυφθέντος. Ἡ τυφθεῖσα τῆς τυφθεί-
σης. Τὸ τυφθὲν τοῦ τυφθέντος. Καὶ β διὰ π
Ὁ τυπεὶς τοῦ τυπέντος. Ἡ τυπεῖσα τῆς τυπείσης
Τὸ τυπὲν τοῦ τυπέντος. Μέλλων α.
Ὁ τυφθησόμενος Ἡ τυφθησομένη Τὸ τυφθησόμε-
νον. Καὶ δεύτερος διὰ π.
Ὁ τυπησόμενος Ἡ τυπησομένη Τὸ τυπησόμενον

Μέσος ἀόριστος πρῶτος.

Ὁ τυψάμενος Ἡ τυψαμένη Τὸ τυψάμενον.

Μέσος ἀόριστος δεύτερος.

Ὁ τυπόμενος Ἡ τυπομένη Τὸ τυπόμενον.

Μέσος μέλλων πρῶτος.

Ὁ τυψόμενος Ἡ τυψομένη Τὸ τυψόμενον.

Μέσος μέλλων δεύτερος.

Ὁ τυπούμενος Ἡ τυπουμένη Τὸ τυπούμενον
Σημείωσαι ὅτι αἱ μετοχαὶ παθητικαὶ καὶ κοιναὶ
καὶ ἀποθετικαὶ ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ γένει
κλίνονται κατὰ τὴν τετάρτην ἁπλῆν κλίσιν χω-
ρὶς τοῦ πρώτου καὶ δευτέρου ἀορίστου περιττοσυ-
λλάβως κλινομένων ἐν ἀρσενικῷ καὶ οὐδετέρῳ

γένει· αἱ θηλυκαὶ κατὰ τὴν δευτέραν ἁπλῶς. καὶ περὶ μὲν τῆς κλίσεως τῶν βαρυτόνων ἅλις. νῦν δὲ περὶ τῶν περισπωμένων λέγωμεν.

Περὶ τῶν περισπωμένων ῥημάτων.

Τὰ περισπώμενα ῥήματα ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν γίνεται. οἷον ἀπὸ τοῦ ποιέω ποιῶ. εἰσὶ δὲ τούτων αἱ συζυγίαι τρεῖς. ὧν ἡ πρώτη διὰ τοῦ εω προφέρεται οἷον ποιέω ῶ· καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ πάντων τῶν παρῳχημένων πλὴν τοῦ παρατατικοῦ τὸ η ἔχει. οἷον ποιήσω πεποίηκα ἐπεποιήκειν ἐποίησα. πλὴν τινῶν διὰ τοῦ εσω τὸν μέλλοντα ποιούντων. οἷον τελῶ τελέσω. ὀλῶ ὀλέσω. φρονῶ φρονέσω καὶ φρονήσω. αἰνῶ αἰνέσω καὶ αἰνήσω. ἀρκῶ ἀρκέσω. καλῶ καλέσω φορῶ φορέσω καὶ φορήσω. πονῶ πονέσω καὶ πονήσω.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποιέω ῶ. ποιέεις εῖς. ποιέει εῖ / ποιέετον εῖτον. ποιέετον εῖτον / ποιέομεν οῦμεν. ποιέετε εῖτε. ποιέουσι οῦσι.

Παρατατικός.

Ἐποίεον ουν. ἐποίεες εις. ἐποίεε ει / ἐποιέετον εῖτον. ἐποιεέτην είτην / ἐποιέομεν οῦμεν. ἐποιέετε εῖτε. ἐποίεον ουν.

Παρακείμενος.

Πεποίηκα πεποίηκας πεποίηκε.

Ὑπερσυντέλικος.

Ἐπεποιήκειν ἐπεποιήκεις ἐπεποιήκει.
Ἐποίησα ἐποίησας ἐποίησε. Ἀόριστος α̂.
Ποιήσω ποιήσεις σει. Μέλλων.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποίεε ει· ποιεέτω είτω / ποιέετον εῖτον· ποιεέτων
είτων / ποιέετε εῖτε· ποιεέτωσαν είτωσαν.
Πεποίηκε πεποιηκέτω. Παρακείμενος.
Ποίησον ποιησάτω. Ἀόριστος.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ποιέοιμι οῖμι· ποιέοις οῖς· ποιέοι οῖ / ποιέοιτον
οῖτον· ποιεοίτην οίτην / ποιέοιμεν οῖμεν· ποιέ-
οιτε οῖτε· ποιέοιεν οῖεν. Παρακείμενος.
Πεποιήκοιμι πεποιήκοις πεποιήκοι. Ἀόριστος
Ποιήσαιμι ποιήσαις ποιήσαι. Καὶ αἰολικῶς ποι-
ήσεια ποιήσειας ποιήσειε.
Ποιήσοιμι ποιήσοις σοι. Μέλλων.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν ποιέω ῶ· ποιέῃς ῇς· ποιέῃ ῇ / ἐὰν ποιέητον
ῆτον· ποιέητον ῆτον / ἐὰν ποιέωμεν ῶμεν· ποιέ-
ητε ῆτε· ποιέωσι ῶσι. Παρακείμενος.
Ἐὰν πεποιήκω πεποιήκῃς πεποιήκῃ.
Ἐὰν ποιήσω ποιήσῃς ποιήσῃ. Ἀόριστος α̂

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Ποιέειν εῖν· Παρακείμενος· Πεποιηκέναι· Ἀόρι-
στος α̂· Ποιῆσαι· Μέλλων· Ποιήσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.
Ὁ ποιέων ὢν. Τοῦ ποιέοντος οὖντος. Ἡ ποιέου-
σα οὖσα. Τῆς ποιεούσης ούσης. Τό ποιέον οὖν
τοῦ ποιέοντος οὖντος. Παρακείμενος.
Ὁ πεποιηκὼς τοῦ πεποιηκότος. Ἡ πεποιηκυῖα
τῆς πεποιηκυίας. Τὸ πεποιηκὸς τοῦ πεποιη-
κότος. Ἀόριστος πρῶτος.
Ὁ ποιήσας τοῦ ποιήσαντος. Ἡ ποιήσασα τῆς
ποιησάσης. Τὸ ποιῆσαν τοῦ ποιήσαντος.
Ὁ ποιήσων. Ἡ ποιήσουσα. Τὸ ποιῆσον. Μέλλων
Ὁριστικὰ παθητικά. Ἐνεστὼς.
Ποιέομαι οῦμαι. ποιέῃ ῇ. ποιέεται εῖται / ποιεέ-
μεθον ούμεθον. ποιέεσθον εῖσθον. ποιέεσθον εῖ-
σθον / ποιεόμεθα ούμεθα. ποιέεσθε εῖσθε. ποιέον-
ται οῦνται. Παρατατικὸς.
Ἐποιεόμην ούμην. ἐποιέου οῦ. ἐποιέετο εῖτο /
ἐποιεόμεθον ούμεθον. ἐποιέεσθον εῖσθον. ἐποιεέ-
σθην είσθην / ἐποιεόμεθα ούμεθα. ἐποιέεσθε εῖ-
σθε. ἐποιέοντο οῦντο. Παρακείμενος.
Πεποίημαι πεποίησαι πεποίηται / πεποιήμεθον
πεποίησθον πεποιήσθην / πεποιήμεθα πεποίη-
σθε πεποίηνται. Μετ' ὀλίγον μέλλων.
Πεποιήσομαι πεποιήσῃ πεποιήσεται.
Ὑπερσυντέλικος.
Ἐπεποιήμην ἐπεποίησο ἐπεποίητο.

Ἀόριστος πρῶτος.
Ἐποιήθην ἐποιήθης ἐποιήθη. Μέλλων α.
Ποιηθήσομαι ποιηθήσῃ ποιηθήσεται.
Μέσος ἀόριστος πρῶτος.
Ἐποιησάμην ἐποιήσω ἐποιήσατο.
Ποιήσομαι ποιήσῃ ποιήσεται. Μέσος μέλλων α.
Προστακτικὰ παθητικά. Ἐνεστώς.
Ποιέου οῦ. ποιεέσθω είσθω / ποιεέσθον εῖσθον.
ποιεέσθων είσθων / ποιέεσθε εῖσθε. ποιεέσθωσαν
είσθωσαν.
Πεποίησο πεποιήσθω. Παρακείμενος.
Ποιήθητι ποιηθήτω. Ἀόριστος πρῶτος.
Ποίησαι ποιησάσθω. Μέσος ἀόριστος α.
Εὐκτικὰ παθητικά. Ἐνεστώς.
Ποιεοίμην οίμην. ποιέοιο οῖο. ποιέοιτο οῖτο /
ποιεοίμεθον οίμεθον. ποιέοισθον οῖσθον. ποιεοί-
σθην οίσθην / ποιεοίμεθα οίμεθα. ποιέοισθε οῖ-
σθε. ποιέοιντο οῖντο. Παρακείμενος.
Πεποιήμην πεποίηο πεποίητο.
Μετ' ὀλίγον μέλλων.
Πεποιησοίμην πεποιήσοιο πεποιήσοιτο.
Ἀόριστος πρῶτος.
Ποιηθείην ποιηθείης ποιηθείη. Μέλλων α.
Ποιηθησοίμην ποιηθήσοιο ποιηθήσοιτο.
Μέσος ἀόριστος πρῶτος:

Ποιησαίμην ποιήσαιο ποιήσαιτο.

Μέσος μέλλων πρῶτος.

Ποιησοίμην ποιήσοιο ποιήσοιτο.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν ποιέωμαι ὦμαι· ποιέῃ ῇ· ποιέηται ῆται/
ἐὰν ποιεώμεθον ώμεθον· ποιέησθον ῆσθον· ποιέ-
ησθον ῆσθον/ ἐὰν ποιεώμεθα ώμεθα· ποιέησθε ῆ-
σθε· ποιέωνται ῶνται. Παρακείμενος.
Ἐὰν πεποιῶμαι πεποιῇ πεποιῆται.
Ἐὰν ποιηθῶ ποιηθῇς ποιηθῇ. Ἀόριστος α.

Μέσος ἀόριστος πρῶτος.

Ἐὰν ποιήσωμαι ποιήσῃ ποιήσεται.

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Ποιέεσθαι εῖσθαι· Παρακείμενος. Πεποιῆσθαι.
Μετ' ὀλίγον μέλλων· Πεποιήσεσθαι. Ἀόριστος α.
Ποιηθῆναι. Μέλλων α. Ποιηθήσεσθαι. Μέσος ἀό-
ριστος α. Ποιήσασθαι. Μέσος μέλλων α. Ποιή-
σεσθαι. Μετοχαὶ παθητικαί. Ἐνεστώς.
Ὁ ποιεόμενος ούμενος. Τοῦ ποιεομένου ουμένου
Ἡ ποιεομένη ουμένη. τῆς ποιεομένης ουμένης.
Τὸ ποιεόμενον ούμενον. Τοῦ ποιεομένου ουμέ-
νου. Παρακείμενος.
Ὁ πεποιημένος. Ἡ πεποιημένη. Τὸ πεποιημέ-
νον. Μετ' ὀλίγον μέλλων.
Ὁ πεποιησόμενος. Ἡ πεποιησομένη. Τὸ πεποιη

σόμενον. Ἀόριστος πρῶτος.
Ὁ ποιηθεὶς. Ἡ ποιηθεῖσα. Τὸ ποιηθὲν. Μέλλων α.
Ὁ ποιηθησόμενος. Ἡ ποιηθησομένη. Τὸ ποιηθη-
σόμενον. Μέσος ἀόριστος πρῶτος.
Ὁ ποιησάμενος. Ἡ ποιησαμένη. Τὸ ποιησάμε-
νον. Μέσος μέλλων πρῶτος.
Ὁ ποιησόμενος. Ἡ ποιησομένη. Τὸ ποιησόμενον

Περὶ τῆς δευτέρας συζυγίας τῶν περι-
σπωμένων.

Ἡ δευτέρα συζυγία τῶν περισπωμένων διὰ τοῦ
αω προφέρεται. οἷον βοάω ῶ. δράω ῶ. καὶ ἐν
τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ α ἔχει
οἷον βοήσω. δράσω.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Βοάω ῶ. βοάεις ᾶς. βοάει ᾶ / βοάετον ᾶτον. βο
άετον ᾶτον / βοάομεν ῶμεν. βοάετε ᾶτε. βοά-
ουσι ῶσι. Παρατατικός.
Ἐβόαον ων. ἐβόαες ας. ἐβόαε α / ἐβοάετον ᾶ-
τον. ἐβοαέτην άτην. ἐβοάομεν ῶμεν. ἐβοάε
τε ᾶτε. ἐβόαον ων.
Βεβόηκα βεβόηκας βεβόηκε. Παρακείμενος.
Ἐβεβοήκειν ἐβεβοήκεις ἐβεβοήκει. Ὑπερσυντέλι
κος. Ἐβόησα ἐβόησας ἐβόησε. Ἀόριστος α.
Βοήσω βοήσεις βοήσει. Μέλλων.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Βόαε ᾶ· βοαέτω άτω / βοαέτον ᾶτον· βοαέτων
άτων / βοαέτε ᾶτε· βοαέτωσαν άτωσαν·
Βεβόηκε· βεβοηκέτω· Παρακείμενος·
Βόησον βοησάτω· Ἀόριστος ᾶ·
Εὐκτικὰ συζυγητικά· Ἐνεστώς·
Βοάοιμι ῷμι· βοάοις ῷς· βοάοι ῷ / βοάοιτον
ῷτον· βοαοίτην ῴτην / βοάοιμεν ῷμεν· βοάοι
τε ῷτε· βοάοιεν ῷεν·
Βεβοήκοιμι· κοις· κοι· Παρακείμενος·
Βοήσαιμι βοήσαις βοήσαι· Ἀόριστος ᾶ·
Βοήσεια ας ε· Αἰολικόν·
Βοήσοιμι βοήσοις σοι· Μέλλων·
Ὑποτακτικὰ συζυγητικά· Ἐνεστώς·
Ἐὰν βοάω ῶ· βοάῃς ᾶς· βοάῃ ᾶ / ἐὰν βοάητον
ᾶτον· βοάητον ᾶτον / ἐὰν βοάωμεν ῶμεν· βοάη
τε ᾶτε· βοάωσι ῶσι·
Ἐὰν βεβοήκω βεβοήκῃς κῃ· Παρακείμενος·
Ἐὰν βοήσω βοήσῃς βοήσῃ· Ἀόριστος ᾶ·
Ἀπαρέμφατα συζυγητικά· Ἐνεστώς·
Βοάειν ᾶν· Παρακείμενος· Βεβοηκέναι· Ἀόρι-
στος ᾶ· Βοῆσαι· Μέλλων· Βοήσειν·
Μετοχαὶ συζυγητικαί· Ἐνεστώς·
Ὁ βοάων ῶν· Τοῦ βοάοντος ῶντος· Ἡ βοάουσα
ῶσα· Τῆς βοαούσης ώσης· Τὸ βοάον ῶν· Τοῦ βο
άοντος ῶντος· Παρακείμενος·

Ὁ βεβοηκώς· Ἡ βεβοηκυῖα· Τὸ βεβοηκός·
Ὁ βοήσας· Ἡ βοήσασα· Τὸ βοῆσαν· Ἀόριστος α̑
Ὁ βοήσων· Ἡ βοήσουσα· Τὸ βοῆσον· Μέλλων·

Ὁριστικὰ παθητικά· Ἐνεστώς·

Βοάομαι ῶμαι· βοάῃ ᾶ· βοάεται ᾶται / βοαόμε
θον ώμεθον· βοάεσθον ᾶσθον· βοάεσθον άσθον /
βοαόμεθα ώμεθα· βοάεσθε ᾶσθε· βοάονται ῶν-
ται·

Παρατατικός·

Ἐβοαόμην ώμην· ἐβοάου ῶ ἐβοάετο ᾶτο / ἐβο
αόμεθον ώμεθον· ἐβοάεσθον ᾶσθον· ἐβοαέσθην ά
σθην / ἐβοαόμεθα ώμεθα· ἐβοάεσθε ᾶσθε· ἐβο-
άοντο ῶντο·

Παρακείμενος·

Βεβόημαι βεβόησαι ται· Μετ' ὀλίγον μέλλων·
Βεβοήσομαι βεβοήσῃ βεβοήσεται· Ὑπερσυντέ
λικος· Ἐβεβοήμην ἐβεβόησο ἐβεβόητο·
Ἐβοήθην ἐβοήθης θη· Ἀόριστος α̑·
Βοηθήσομαι βοηθήσῃ ται· Μέλλων α̑·
Ἐβοησάμην ἐβοήσω σατο· Μέσος ἀόριστος α
Βοήσομαι βοήσῃ βοήσεται· Μέσος μέλλων α·

Προστακτικὰ παθητικά· Ἐνεστώς·

Βοάου ῶ· βοαέσθω άσθω / βοάεσθον ᾶσθον· βο-
αέσθων άσθων / βοάεσθε ᾶσθε· βοαέσθωσαν ά-
σθωσαν· Παρακείμενος· Βεβόησο βεβοήσθω·
Βοήθητι βοηθήτω· Ἀόριστος α·
Βόησαι βοησάσθω· Μέσος ἀόριστος α·

Εὐκτικὰ παθητικά. Ἐνεστώς.
Βοαοίμην ῴμην · βοάοιο ῷ · βοάοιτο ῷτο / βοα-
οίμεθον ῴμεθον · βοάοισθον ῷσθον · βοαοίσθην ῴ-
σθην / βοαοίμεθα ῴμεθα · βοάοισθε ῷσθε · βοά-
οιντο ῷντο · Παρακείμενος ·
Βεβοήμην βεβόηο βεβόητο Μετ' ὀλίγον μέλλων
Βεβοησοίμην βεβοήσοιο βεβοήσοιτο ·
Βοηθείην βοηθείης βοηθείη · Ἀόριστος α ·
Βοηθησοίμην βοηθήσοιο βοηθήσοιτο · Μέλλων α
Βοησαίμην βοήσαιο σαιτο · Μέσος ἀόριστος α ·
Βοησοίμην βοήσοιο σοιτο · Μέσος μέλλων α ·
Ὑποτακτικὰ παθητικά · Ἐνεστώς ·
Ἐὰν βοάωμαι ῶμαι · βοάῃ ᾶ · βοάηται ᾶται /
ἐὰν βοαώμεθον ώμεθον · βοάησθον ᾶσθον · βοάη-
σθον ᾶσθον / ἐὰν βοαώμεθα ώμεθα · βοάησθε ᾶ-
σθε · βοάωνται ῶνται · Παρακείμενος ·
Ἐὰν βεβοῶμαι βεβοῇ βεβοῆται ·
Ἐὰν βοηθῶ βοηθῇς βοηθῇ · Ἀόριστος α ·
Ἐὰν βοήσωμαι βοήσῃ βοήσηται · Μέσος ἀόριστος
πρῶτος · Ἀπαρέμφατα παθητικὰ · Ἐνεστώς ·
Βοάεσθαι ᾶσθαι Παρακείμενος · Βεβοῆσθαι ·
Μετ' ὀλίγον μέλλων · Βεβοήσεσθαι · Ἀόριστος α ·
Βοηθῆναι · Μέλλων α · Βοηθήσεσθαι · Μέσος ἀόρι-
στος α · Βοήσασθαι · Μέλλων α · Βοήσεσθαι ·
Μετοχαὶ παθητικαί · Ἐνεστώς ·

Ὁ βοαόμενος ώμενος· Τοῦ βοαομένου ωμένου·
Ἡ βοαομένη ωμένη· Τῆς βοαομένης ωμένης·
Τὸ βοαόμενον ώμενον· Τοῦ βοαομένου ωμε-
νου. Παρακείμενος.
Ὁ βεβοημένος· Ἡ βεβοημένη· Τὸ βεβοημένον·
Μετ' ὀλίγον μέλλων·
Ὁ βεβοησόμενος· Ἡ βεβοησομένη· Τὸ βεβοησό-
μενον· Ἀόριστος πρῶτος·
Ὁ βοηθείς· Ἡ βοηθεῖσα· Τὸ βοηθέν· Μέλλων α
Ὁ βοηθησόμενος· Ἡ βοηθησομένη· Τὸ βοηθησόμε
νον· Μέσος ἀόριστος α· Ὁ βοησάμενος· Ἡ βο
ησαμένη· Τὸ βοησάμενον· Μέσος μέλλων α
Ὁ βοησόμενος· Ἡ βοησομένη· Τὸ βοησόμενον·

Περὶ τῆς τρίτης συζυγίας.

Ἡ τρίτη συζυγία τῶν περισπωμένων διὰ τοῦ οω
προφέρεται· οἷον χρυσόω ῶ· καὶ ἐν τῇ παραλη-
γούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἔχει· οἷον χρυσώ
σω· πλὴν τοῦ ἀρόω ῶ ἀρόσω· ὀμόω ῶ ὀμόσω·
ἐνόω ῶ ἐνόσω· βόω ῶ βόσω· ὀνόω ῶ ὀνόσω·

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Χρυσόω ῶ· χρυσόεις οῖς· χρυσόει οῖ / χρυσόε-
τον οῦτον· χρυσόετον οῦτον / χρυσόομεν οῦμεν
χρυσόετε οῦτε· χρυσόουσι οῦσι· Παρατατικός
Ἐχρύσοον ουν· ἐχρύσοες ους· ἐχρύσοε ε / ἐχρυ
σόετον οῦτον· ἐχρυσοέτην ούτην / ἐχρυσόομεν

οὐ μεν· ἐχρυσόετε οὔτε· ἐχρύσοον οων·

Παρακείμενος·

Κεχρύσωκα κεχρύσωκας κεχρύσωκε·

Ὑπερσυντέλικος·

Ἐκεχρυσώκειν ἐκεχρυσώκεις ἐκεχρυσώκει·
Ἐχρύσωσα ἐχρύσωσας ἐχρύσωσε· Ἀόριστος ᾱ
Χρυσώσω χρυσώσεις χρυσώσει· Μέλλων·

Προστακτικὰ ἐνεργητικά· Ἐνεστώς·

Χρύσοε ου· χρυσοέτω ούτω· χρυσόετον οῦτον·
χρυσοέτων ούτων / χρυσόετε οῦτε· χρυσοέτω-
σαν ούτωσαν·
Κεχρύσωκε κεχρυσωκέτω· Παρακείμενος·
Χρύσωσον χρυσωσάτω· Ἀόριστος ᾱ·

Εὐκτικὰ ἐνεργητικά· Ἐνεστώς·

Χρυσόοιμι οῖμι· χρυσόοις οῖς· χρυσόοι οῖ / χρυ
σόοιτον οῖτον· χρυσοοίτην οίτην / χρυσόοιμεν
οῖμεν· χρυσόοιτε οῖτε· χρυσόοιεν οῖεν·

Παρακείμενος·

Κεχρυσώκοιμι κεχρυσώκοις κεχρυσώκοι·
Χρυσώσαιμι χρυσώσαις χρυσώσαι· Ἀόριστος ᾱ
Χρυσώσεια χρυσώσειας χρυσώσειε·
Χρυσώσοιμι χρυσώσοις χρυσώσοι· Μέλλων·

Ὑποτακτικὰ ἐνεργητικά· Ἐνεστώς·

Ἐὰν χρυσόω ῶ· χρυσόῃς ῇς· χρυσόῃ ῇ / ἐὰν χρυ
σόητον ῆτον· χρυσόητον ῆτον / ἐὰν χρυσόωμεν

ῶμεν· χρυσόητε ῆτε· χρυσόωσι ῶσι· Παρακείμε
νος· Ἐὰν κεχρυσώκω κεχρυσώκῃς κεχρυσώκῃ·
Ἐὰν χρυσώσω χρυσώσῃς χρυσώσῃ· Ἀόριστος ᾱ

Ἀπαρέμφατα ἐνεργητικά· Ἐνεστώς·

Χρυσόειν οῦν· Παρακείμενος· Κεχρυσωκέναι·
Ἀόριστος ᾱ· Χρυσῶσαι· Μέλλων· χρυσώσειν·

Μετοχαὶ ἐνεργητικαί· Ἐνεστώς·

Ὁ χρυσόων ῶν· Τοῦ χρυσόοντος οῦντος· Ἡ χρυσό
ουσα οῦσα· Τῆς χρυσοούσης ούσης· Τὸ χρυσόον
οῦν· Τοῦ χρυσόοντος οῦντος· Παρακείμενος·
Ὁ κεχρυσωκὼς τοῦ κεχρυσωκότος· Ἡ κεχρυσω-
κυῖα τῆς κεχρυσωκυίας· Τὸ κεχρυσωκὸς τοῦ κε
χρυσωκότος· Ἀόριστος ᾱ·
Ὁ χρυσώσας τοῦ χρυσώσαντος· Ἡ χρυσώσασα
τῆς χρυσωσάσης· Τὸ χρυσῶσαν τοῦ χρυσώσαν-
τος· Μέλλων· Ὁ χρυσώσων τοῦ χρυ-
σώσοντος· Ἡ χρυσώσουσα τῆς χρυσωσούσης·
Τὸ χρυσῶσον τοῦ χρυσώσοντος·

Ὁριστικὰ παθητικά· Ἐνεστώς·

Χρυσόομαι οῦμαι· χρυσόῃ ῇ· χρυσόεται οῦται/
χρυσοόμεθον ούμεθον· χρυσόεσθον οῦσθον· χρυ-
σόεσθον οῦσθον/ χρυσοόμεθα ούμεθα· χρυσόε-
σθε οῦσθε· χρυσόονται οῦνται· Παρατατικὸς
Ἐχρυσοόμην ούμην· ἐχρυσόου οῦ· ἐχρυσόετο
οῦτο/ ἐχρυσοόμεθον ούμεθον· ἐχρυσόεσθον ου-

σθον. ἐχρυσοέσθην οὔσθην / ἐχρυσοόμεθα οὔμε
θα. ἐχρυσόεσθε οῦσθε. ἐχρυσόοντο οῦντο.
Κεχρύσομαι κεχρύσωσαι σωται. Παρακείμενος
Μετ' ὀλίγον μέλλων.
Κεχρυσώσομαι κεχρυσώσῃ κεχρυσώσεται.
Ὑπερσυντέλικος.
Ἐκεχρυσώμην ἐκεχρύσωσο ἐκεχρύσωτο.
Ἐχρυσώθην ἐχρυσώθης ἐχρυσώθη. Ἀόριστος α.
Χρυσωθήσομαι σῃ σεται. Μέλλων α.
Μέσος ἀόριστος πρῶτος.
Ἐχρυσωσάμην ἐχρυσώσω ἐχρυσώσατο.
Χρυσώσομαι χρυσώσῃ χρυσώσεται. Μέσος μέ-
λλων α. Προστακτικὰ παθητικά. Ἐνεστώς.
Χρυσόου χρυσοέσθω / χρυσόεσθον χρυσοέσθων /
χρυσόεσθε χρυσοέσθωσαν.
Κεχρύσωσο. κεχρυσώσθω. Παρακείμενος.
Χρυσώθητι. χρυσωθήτω. Ἀόριστος πρῶτος
Χρύσωσαι. χρυσωσάσθω. Μέσος ἀόριστος α
Εὐκτικὰ παθητικά. Ἐνεστώς.
Χρυσοοίμην οίμην. χρυσόοιο οῖο. χρυσόοιτο οῖ-
το / χρυσοοίμεθον οίμεθον. χρυσοοίμεσθον οίμε
σθον. χρυσοοίσθην οίσθην / χρυσοοίμεθα οίμεθα
χρυσόοισθε οίσθε. χρυσόοιντο οῖντο.
Κεχρυσώμην. κεχρύσωο. Παρακείμενος.
Μετ' ὀλίγον μέλλων.

Κεχρυσωσοίμην κεχρυσώσοιο κεχρυσώσοιτο·
Χρυσωθείην χρυσωθείης χρυσωθείη· Ἀόριστος ᾱ
Μέλλων πρῶτος·
Χρυσωθησοίμην χρυσωθήσοιο χρυσωθήσοιτο·
Μέσος ἀόριστος πρῶτος·
Χρυσωσαίμην χρυσώσαιο χρυσώσαιτο·
Μέσος μέλλων πρῶτος·
Χρυσωσοίμην χρυσώσοιο χρυσώσοιτο·
Ὑποτακτικὰ παθητικά· Ἐνεστὼς·
Ἐὰν χρυσόωμαι ῶμαι· χρυσόῃ ῇ· χρυσόηται ῆ-
ται ἐὰν χρυσοώμεθον ώμεθον· χρυσόησθον ῆσθον
χρυσόησθον ῆσθον/ ἐὰν χρυσοώμεθα ώμεθα·
χρυσόησθε ῆσθε· χρυσόωνται ῶνται· Παρακείμε-
νος· Ἐὰν κεχρυσῶμαι κεχρυσῇ κεχρυσῆται·
Ἐὰν χρυσωθῶ χρυσωθῇς χρυσωθῇ· Ἀόριστος ᾱ
Μέσος ἀόριστος πρῶτος·
Ἐὰν χρυσώσωμαι χρυσώσῃ χρυσώσηται·
Ἀπαρέμφατα παθητικά· Ἐνεστὼς·
Χρυσόεσθαι οῦσθαι· Παρακείμενος· Κεχρυσῶ-
σθαι· Μετ' ὀλίγον μέλλων· κεχρυσώσεσθαι· Ἀόρι
στος ᾱ· Χρυσωθῆναι· Μέλλων ᾱ· χρυσωθήσεσθαι
Μέσος ἀόριστος ᾱ· Χρυσώσασθαι· Μέσος μέλ-
λων ᾱ· Χρυσώσεσθαι·
Μετοχαὶ παθητικαί· Ἐνεστὼς·
Ὁ χρυσοόμενος ούμενος· Τοῦ χρυσοομένου ουμέ

νου· Ἡ χρυσοομένη ουμένη· Τῆς χρυσοομένης ουμένης· Τὸ χρυσοόμενον ούμενον· Τοῦ χρυσοομένου ουμένου. Παρακείμενος. Ὁ κεχρυσωμένος. Ἡ κεχρυσωμένη. Τὸ κεχρυσωμένον. Μετὰ ὀλίγον μέλλων. Ὁ κεχρυσωσόμενος. Ἡ κεχρυσωσομένη. Τὸ κεχρυσωσόμενον. Ἀόριστος α̅. Ὁ χρυσωθείς. Ἡ χρυσωθεῖσα. Τὸ χρυσωθέν. Μέλλων α̅. Ὁ χρυσωθησόμενος. Ἡ χρυσωθησομένη. Τὸ χρυσωθησόμενον. Μέσος ἀόριστος α̅. Ὁ χρυσωσάμενος. Ἡ χρυσωσαμένη. Τὸ χρυσωσάμενον. Μέσος μέλλων α̅. Ὁ χρυσωσόμενος. Ἡ χρυσωσομένη. Τὸ χρυσωσόμενον. Δεῖ δὲ εἰδέναι ὅτι σπανίως εὑρίσκονται μέσοι παρακείμενοι καὶ δεύτεροι ἀόριστοι ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων· οἷον κτυπῶ ἔκτυπα ἔκτυπον· δουπῶ δέδουπα ἔδουπον· μυκῶ μέμυκα ἔμυκον· χραισμῶ ἔχραισμον· ὀλισθῶ ὤλισθον· ἁμαρτῶ ἥμαρτον· βλαστῶ ἔβλαστον· ἀλαλκῶ ἤλαλκον· ἐπὶ δὲ τῆς τρίτης οὐδαμῶς.

Περὶ τῶν εἰς μι ῥημάτων.

Τὰ εἰς μι ῥήματα ἀπὸ τῶν περισπωμένων ῥημάτων γίνονται. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι τέσσαρες· ὧν ἡ πρώτη ἀπὸ τῆς πρώτης τῶν περισπωμένων γίνεται· οἷον τιθέω ῶ· τίθημι. Ἔχει δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστητικοῦ τὸ ε δὲ ἐν τοῦ

παθητικοῦ· οἷον τίθημι τίθεμαι·

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Τίθημι τίθης τίθησι / τίθετον τίθετον / τίθεμεν τίθετε τιθεῖσι· καὶ ἰωνικῶς τιθέασι· Παρατατικὸς ἐτίθην ἐτίθης ἐτίθη / ἐτίθετον ἐτιθέτην / ἐτίθεμεν ἐτίθετε ἐτίθεσαν· Παρακείμενος· Τέθεικα τέθεικας τέθεικε· Ὑπερσυντέλικος· Ἐτεθείκειν ἐτεθείκεις ἐτεθείκει· γράφονται δὲ διὰ ει διφθόγγου ἔθει βοιωτικῷ· Ἀόριστος α· Ἔθηκα ἔθηκες ἔθηκε· ἀντὶ ἔθησα ἔξω τοῦ κανόνος· ὁμοίως καὶ ἔδωκα· καὶ ἧκα· καὶ ἤνεγκα· καὶ εἶπα· ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸ σύμφωνον τοῦ οἰκείου μέλλοντος· Ἀόριστος β· Ἔθην ἔθης ἔθη / ἔθετον ἐθέτην / ἔθεμεν ἔθετε ἔθεσαν· Μέλλων· Θήσω θήσεις θήσει· Προστακτικὰ ἐνεργητικά· Ἐνεστώς· Τίθετι τιθέτω / τίθετον τιθέτων / τίθετε τιθέτωσαν· Παρακείμενος· Τέθεικε τεθεικέτω· Ἀόριστος β· Θέτι ἢ θὲς θέτω·

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς

Τιθείην τιθείης τιθείη / τιθείητον τιθειήτην / τιθείημεν τιθείητε τιθείησαν καὶ τιθεῖεν·

Τεθείκοιμι τεθείκοις τεθείκοι· Παρακείμενος

Θείην θείης θείη· Ἀόριστος β·

Θήσοιμι θήσοις θήσοι· Μέλλων·

Ὑποτακτικὰ ἐνεργητικά· Ἐνεστώς

ἐὰν τιθῶ τιθῇς τιθῇ / ἐὰν τιθῆτον τιθῆτον / ἐὰν τι-
θῶμεν τιθῆτε τιθῶσιν.

ἐὰν τεθείκω τεθείκῃς τεθείκῃ. Παρακείμενος

ἐὰν θῶ θῇς θῇ. Ἀόριστος β.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Τιθέναι. Παρακείμενος. Τεθεικέναι. Ἀόριστος
δεύτερος. Θεῖναι. Μέλλων. Θήσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς

Ὁ τιθεὶς τοῦ τιθέντος. Ἡ τιθεῖσα τῆς τιθείσης. Τὸ
τιθὲν τοῦ τιθέντος. Παρακείμενος. Ὁ τεθεικὼς
Ἡ τεθεικυῖα. Τὸ τεθεικός.

Ὁ θεὶς. Ἡ θεῖσα. Τὸ θὲν. Ἀόριστος β.

Ὁ θήσων. Ἡ θήσουσα. Τὸ θῆσον. Μέλλων.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Τίθεμαι τίθεσαι τίθεται / τιθέμεθον τίθεσθον τίθε-
σθον / τιθέμεθα τίθεσθε τίθενται. Παρατατικὸς

ἐτιθέμην ἐτίθεσο ου ἐτίθετο / ἐτιθέμεθον ἐτίθε-
σθον ἐτιθέσθην / ἐτιθέμεθα ἐτίθεσθε ἐτίθεντο.

Τέθειμαι τέθεισαι τέθειται. Παρακείμενος.

Τεθείσομαι τεθείσῃ. Μετ' ὀλίγον μέλλων.

ἐτεθείμην ἐτέθεισο ἐτέθειτο. Ὑπερσυντέλικος.

ἐτέθην ἐτέθης ἐτέθη. Ἀόριστος α.

Τεθήσομαι τεθήσῃ τεθήσεται. Ἀόριστος α.

ἐθέμην ἔθεσο καὶ ἔθου ἔθετο. Μέσος ἀόριστος β

Θήσομαι θήσῃ θήσεται. Μέσος μέλλων α.

Προστακτικὰ παθητικά. Ἐνεστώς.

Τίθεσο καὶ τίθου τιθέσθω / τίθεσθον τιθέσθων / τίθεσθε τιθέσθωσαν.

Τέθεισο τεθείσθω. Παρακείμενος.

Τέθητι τεθήτω. Ἀόριστος α.

Θέσο καὶ θοῦ θέσθω. Μέσος ἀόριστος β

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Τιθείμην τιθεῖο τιθεῖτο / τιθείμεθον τιθεῖσθον τιθείσθην / τιθείμεθα τιθεῖσθε τιθεῖντο.

Τεθείμην τεθεῖο τεθεῖτο. Παρακείμενος.

Τεθεισοίμην τεθείσοιο. Μετ' ὀλίγον μέλλων.

Τεθείην τεθείης τεθείη. Ἀόριστος α.

Θείμην θεῖο θεῖτο. Μέσος ἀόριστος β.

Θησοίμην θήσοιο θήσοιτο. Μέσος μέλλων α.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν τιθῶμαι τιθῇ τιθῆται / ἐὰν τιθώμεθον τιθῆσθον τιθῆσθον / ἐὰν τιθώμεθα τιθῆσθε τιθῶνται.

Ἐὰν τεθῶμαι τεθῇ τεθῆται. Παρακείμενος

Ἐὰν τεθῶ τεθῇς τεθῇ. Ἀόριστος α.

Ἐὰν θῶμαι θῇ θῆται. Μέσος ἀόριστος β

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Τίθεσθαι. Παρακείμενος. Τεθεῖσθαι. Μετ' ὀλίγον μέλλων. Τεθείσεσθαι. Ἀόριστος α. Τεθῆναι. Μέλλων α. Τεθήσεσθαι. Μέσος ἀόριστος β. Θέσθαι. Μέσος μέλλων α. Θήσε-

σθαι. Μετοχαὶ παθητικαί. Ἐνεστώς.
Ὁ τιθέμενος. Ἡ τιθεμένη. Τὸ τιθέμενον.
Παρακείμενος.
Ὁ τεθειμένος. Ἡ τεθειμένη. Τὸ τεθειμένον.
Μετ' ὀλίγον μέλλων.
Ὁ τεθεισόμενος. Ἡ τεθεισομένη. Τὸ τεθεισόμενον
Ὁ τεθείς. Ἡ τεθεῖσα. Τὸ τεθέν. Ἀόριστος α.
Μέλλων πρῶτος.
Ὁ τεθησόμενος. Ἡ τεθησομένη. Τὸ τεθησόμενον
Μέσος ἀόριστος δεύτερος.
Ὁ θέμενος. Ἡ θεμένη. Τὸ θέμενον.
Μέσος μέλλων πρῶτος.
Ὁ θησόμενος. Ἡ θησομένη. Τὸ θησόμενον.
Δευτέρα συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς δευ-
τέρας τῶν περισπωμένων. οἷον ἱστάω ῶ ἵστημι. ἔ-
χει δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ.
τὸ α δὲ ἐν τοῦ παθητικοῦ. οἷον ἵστημι ἵσταμαι.
Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.
Ἵστημι ἵστης. ἵστησι/ ἵστατον ἵστατον/ ἵσταμεν ἵ-
στατε ἱστᾶσι. Παρατατικός.
Ἵστην ἵστης ἵστη/ ἵστατον ἱστάτην/ ἵσταμεν ἵστα-
τε ἵστασαν. Παρακείμενος.
Ἕστακα ἕστακας ἕστακε/ καὶ οὐχ ἕστηκα εἰς δια-
φορὰν τοῦ ἕστηκα ἀπὸ τοῦ ἑστήκω γινομένου. ὁμοί-
ως καὶ ὁ ὑπερσυντέλικος ἑστάκειν ἑστάκεις ἑστάκει

Ἔστησα ἔστησας ἔστησε. Ἀόριστος α.

Ἀόριστος δεύτερος

Ἔστην ἔστης ἔστη / ἔστητον ἐστήτην / ἔστημεν ἔστητε ἔστησαν. Μέλλων. Στήσω στήσεις στήσει.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἵσταθι ἱστάτω / ἵστατον ἱστάτων / ἵστατε ἱστάτω-
σαν. Ἕστακε ἑστακέτω. Παρακείμενος.
Στῆσον στησάτω. Ἀόριστος α.
Στῆθι στήτω. Ἀόριστος β.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἱσταίην ἱσταίης ἱσταίη / ἱσταίητον ἱσταιήτην / ἱσταίη-
μεν ἱσταίητε ἱσταίησαν καὶ ἱσταῖεν.
Ἑστάκοιμι ἑστάκοις ἑστάκοι. Παρακείμενος.

Ἀόριστος πρῶτος.

Στήσαιμι στήσαις στήσαι / στήσεια στήσειας στήσειε.
Σταίην σταίης σταίη. Ἀόριστος β.
Στήσοιμι στήσοις στήσοι. Μέλλων.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν ἱστῶ ἱστᾷς ἱστᾷ / ἐὰν ἱστᾶτον ἱστᾶτον / ἐὰν
ἱστῶμεν ἱστᾶτε ἱστῶσι.
Ἐὰν ἑστάκω ἑστάκῃς ἑστάκῃ. Παρακείμενος
Ἐὰν στήσω στήσῃς στήσῃ. Ἀόριστος α.
Ἐὰν στῶ στῇς στῇ. Ἀόριστος β.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Ἱστάναι. Παρακείμενος. ἑστακέναι. Ἀόριστος α.

Στῆσαι. Ἀόριστος β. Στῆναι. Μέλλων. Στή-
σειν. Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.
Ὁ ἱστὰς τοῦ ἱστάντος. Ἡ ἱστᾶσα τῆς ἱστάσης. Τὸ
ἱστὰν τοῦ ἱστάντος. Παρακείμενος.
Ὁ ἑστακώς. Ἡ ἑστακυῖα. Τὸ ἑστακός.
Ὁ στήσας. Ἡ στήσασα. Τὸ στῆσαν. Ἀόριστος α.
Ὁ στάς. Ἡ στᾶσα. Τὸ στάν. Ἀόριστος β
Ὁ στήσων. Ἡ στήσουσα. Τὸ στῆσον. Μέλλων α.
Ὁριστικὰ παθητικά. Ἐνεστώς.
Ἵσταμαι ἵστασαι ἵσταται / ἱστάμεθον ἵστασθον ἵστα-
σθον / ἱστάμεθα ἵστασθε ἵστανται. Παρατατικός
Ἱστάμην ἵστασο καὶ ἵστω ἵστατο / ἱστάμεθον ἵστα-
σθον ἱστάσθην / ἱστάμεθα ἵστασθε ἵσταντο.
Ἕσταμαι ἕστασαι ἕσταται. Παρακείμενος
Ἑστάσομαι ἑστάσῃ ἑστάσεται. Μετ' ὀλίγον μέλλων
Ἑστάμην ἕστασο ἕστατο. Ὑπερσυντέλικος.
Ἐστάθην ἐστάθης ἐστάθη. Ἀόριστος α.
Σταθήσομαι σταθήσῃ σεται. Μέλλων α.
Ἐστησάμην ἐστήσω σατο. Μέσος ἀόριστος α.
Στήσομαι στήσῃ στήσεται. Μέσος μέλλων α.
Προστακτικὰ παθητικά. Ἐνεστώς.
Ἵστασο καὶ ἵστω ἱστάσθω / ἵστασθον ἱστάσθων / ἵ-
στασθε ἱστάσθωσαν.
Ἕστασο ἑστάσθω. Παρακείμενος.
Στάθητι σταθήτω. Ἀόριστος πρῶτος.

Στῆσαι στησάσθω. Μέσος ἀόριστος α̅

Εὐκτικὰ παθητικά. Ἐνεστώς.

Ἱσταίμην ἵσταιο ἵσταιτο / ἱσταίμεθον ἵσταισθον ἱσταί
σθην / ἱσταίμεθα ἵσταισθε ἵσταιντο.

Ἑσταίμην ἑσταῖο ἑσταῖτο. Παρακείμενος.

Μετ' ὀλίγον μέλλων.

Ἑστασοίμην ἑστάσοιο ἑστάσοιτο.

Σταθείην σταθείης. Ἀόριστος α̅.

Στησαίμην στήσαιο στήσαιτο. Μέσος ἀόριστος α̅

Στησοίμην στήσοιο στήσοιτο. Μέσος μέλλων α̅.

Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.

Ἐὰν ἱστῶμαι ἱστῇ ἱστῆται / ἐὰν ἱστώμεθον ἱστῆσθον
ἱστῆσθον / ἐὰν ἱστώμεθα ἱστῆσθε ἱστῶνται.

Ἐὰν ἑστῶμαι ἑστᾷ στᾶσιν. Παρακείμενος.

Ἐὰν σταθῶ σταθῇς σταθῇ. Ἀόριστος α̅.

Ἐὰν στήσωμαι στήσῃ. Μέσος ἀόριστος α̅

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Ἵστασθαι. Παρακείμενος. Ἑστάσθαι. Ἀόριστος α̅
Σταθῆναι. Μέλλων α̅. Σταθήσεσθαι. Μέσος
ἀόριστος α̅. Στήσασθαι. Μέσος μέλλων α̅. στή
σεσθαι. Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ ἱστάμενος. Ἡ ἱσταμένη. Τὸ ἱστάμενον.

Παρακείμενος.

Ὁ ἑσταμένος. Ἡ ἑσταμένη. Τὸ ἑσταμένον.

Ὁ σταθείς. Ἡ σταθεῖσα. Τὸ σταθέν. Ἀόριστος α̅.

Μέλλων πρῶτος.

Ὁ σταθησόμενος. Ἡ σταθησομένη. Τὸ σταθησόμενον.

Μέσος ἀόριστος α.

Ὁ στησάμενος. Ἡ στησαμένη. Τὸ στησάμενον.

Μέσος μέλλων α.

Ὁ στησόμενος. Ἡ στησομένη. Τὸ στησόμενον.

Ἡ τρίτη συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς τρίτης τῶν περισπωμένων. οἷον διδόω ῶ δίδωμι. ἔχει δὲ τὸ ω μέγα ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ. τὸ ο δὲ μικρὸν ἐν τοῦ παθητικοῦ. οἷον δίδωμι δίδομαι. Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς

Δίδωμι δίδως δίδωσι / δίδοτον δίδοτον / δίδομεν δίδοτε διδοῦσι καὶ ἰωνικῶς διδόασιν.

Παρατατικός.

Ἐδίδων ἐδίδως ἐδίδω / ἐδίδοτον ἐδιδότην / ἐδίδομεν ἐδίδοτε ἐδίδοσαν.

Δέδωκα δέδωκας δέδωκε. Παρακείμενος.

Ἐδεδώκειν ἐδεδώκεις ἐδεδώκει. Ὑπερσυντέλικος

Ἔδωκα ἔδωκας ἔδωκε. Ἀόριστος α

Ἀόριστος β Ἔδων ἔδως ἔδω / ἔδοτον ἐδότην / ἔδομεν ἔδοτε ἔδοσαν.

Δώσω δώσεις δώσει. Μέλλων.

Προστακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Δίδοθι διδότω / δίδοτον διδότων / δίδοτε διδότωσαν. Δέδωκε δεδωκέτω. Παρακείμενος.

Δόθι ἢ δὸς δότω. Ἀόριστος β.

Εὐκτικὰ ἐνεργητικά. Ἐνεστώς.

Διδοίην διδοίης διδοίη/ διδοίητον διδοιήτην/ διδοίημεν διδοίητε διδοίησαν καὶ διδοῖεν.

Δεδώκοιμι δεδώκοις δεδώκοι. Παρακείμενος

Δοίην δοίης δοίη. Ἀόριστος β.

Δώσοιμι δώσοις δώσοι. Μέλλων.

Ὑποτακτικὰ ἐνεργητικά. Ἐνεστώς.

Ἐὰν διδῶ διδῷς διδῷ/ ἐὰν διδῶτον διδῶτον/ ἐὰν διδῶμεν διδῶτε διδῶσιν.

Ἐὰν δεδώκω δεδώκῃς κῃ. Παρακείμενος.

Ἐὰν δῶ δῷς δῷ. Ἀόριστος β.

Ἀπαρέμφατα ἐνεργητικά. Ἐνεστώς.

Διδόναι. Παρακείμενος. Δεδωκέναι. Ἀόριστος β. Δοῦναι. Μέλλων. Δώσειν.

Μετοχαὶ ἐνεργητικαί. Ἐνεστώς.

Ὁ διδούς. Ἡ διδοῦσα. Τὸ διδόν. Παρακείμενος. Ὁ δεδωκώς. Ἡ δεδωκυῖα. Τὸ δεδωκός

Ὁ δούς. Ἡ δοῦσα. Τὸ δόν. Ἀόριστος β.

Ὁ δώσων. Ἡ δώσουσα. Τὸ δῶσον. Μέλλων.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Δίδομαι δίδοσαι καὶ δίδου δίδοται/ διδόμεθον δίδοσθον δίδοσθον/ διδόμεθα δίδοσθε. δίδονται. Παρατατικός.

Ἐδιδόμην ἐδίδοσο καὶ ἐδίδου ἐδίδοτο/ ἐδι-

δόμεθον ἐδιδόσθον ἐδιδόσθην / ἐδιδόμεθα ἐ-
δίδοσθε ἐδίδοντο.
Δέδομαι δέδοσαι δέδοται. Παρακείμενος.
Δεδόσομαι σῃ σεται. Μετ᾽ὀλίγον μέλλων.
Ἐδεδόμην ἐδέδοσο ἐδέδοτο. Ὑπερσυντέλικος
Ἐδόθην ἐδόθης ἐδόθη. Ἀόριστος ᾱ.
Ἐδόμην ἔδοσο καὶ ἔδου ἔδοτο. Μέσος ἀόριστος β
Δόσομαι δόσῃ δόσεται. Μέλλων ᾱ.
Προστακτικὰ παθητικά. Ἐνεστώς.
Δίδοσο καὶ δίδου διδόσθω / δίδοσθον διδό-
σθων / δίδοσθε διδόσθωσαν.
Δέδοσο δεδόσθω. Παρακείμενος.
Δόθητι δοθήτω. Ἀόριστος ᾱ.
Δόσο καὶ δοῦ δόσθω. Μέσος ἀόριστος β
Εὐκτικὰ παθητικά. Ἐνεστώς.
Διδοίμην διδοῖο διδοῖτο / διδοίμεθον διδοί
σθον διδοίσθην / διδοίμεθα διδοῖσθε διδοῖν-
το. Δεδοίμην δεδοῖο δοῖτο. Παρακείμενος
Δεδοσοίμην δεδόσοιο σοιτο. Μετ᾽ὀλίγον μέλλων
Δοθείην δοθείης δοθείη. Ἀόριστος ᾱ.
Δοθησοίμην δοθήσοιο δοθήσοιτο. Μέλλων ᾱ.
Δοίμην δοῖο δοῖτο. Μέσος ἀόριστος β.
Δοσοίμην δόσοιο δόσοιτο. Μέσος μέλλων ᾱ.
Ὑποτακτικὰ παθητικά. Ἐνεστώς.
Ἐὰν διδῶμαι διδῷ διδῶται / ἐὰν διδώμεθον.

διδῶσθον διδῶσθον/ ἐὰν διδώμεθα διδῶσθε δι-
δῶνται. Παρακείμενος. Ἐὰν δεδῶμαι δεδῷ.
δεδῶται. Ἀόριστος α. Ἐὰν δοθῶ δοθῇς δοθῇ.
Ἐὰν δῶμαι δῷ δῶται. Μέσος ἀόριστος β

Ἀπαρέμφατα παθητικά. Ἐνεστώς.

Δίδοσθαι. Παρακείμενος. Δεδόσθαι. Μετ' ὀλί-
γον μέλλων. Δεδόσεσθαι. Ἀόριστος α. Δοθῆναι
Μέλλων α. Δοθήσεσθαι. Μέσος ἀόριστος β. Δό-
σθαι. Μέσος μέλλων α. Δόσεσθαι.

Μετοχαὶ παθητικαί. Ἐνεστώς.

Ὁ διδόμενος. Ἡ διδομένη. Τὸ διδόμενον.

Παρακείμενος.

Ὁ δεδομένος. Ἡ δεδομένη. Τὸ δεδομένον.

Μετ' ὀλίγον μέλλων.

Ὁ δεδοσόμενος. Ἡ δεδοσομένη. Τὸ δεδοσόμενον
Ὁ δοθείς. Ἡ δοθεῖσα. Τὸ δοθέν. Ἀόριστος α.

Μέλλων πρῶτος.

Ὁ δοθησόμενος. Ἡ δοθησομένη. Τὸ δοθησόμενον

Μέσος ἀόριστος β.

Ὁ δόμενος. Ἡ δομένη. Τὸ δόμενον.
Ὁ δοσόμενος. σομένη. σόμενον. Μέσος μέλλων α

Ἡ τετάρτη συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς ἕκ-
της συζυγίας τῶν βαρυτόνων ῥημάτων εἰς νω λη-
γόντων. οἷον ζωννύω ζώννυμι. ἔχει δὲ τὸ ν ἐν-
τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ καὶ παθητικοῦ.

οἷον ζεύγνυμι ζεύγνυμαι.

Ὁριστικὰ ἐνεργητικά. Ἐνεστώς.

Ζεύγνυμι ζεύγνυς ζεύγνυσι/ ζεύγνυτον ζεύγνυτον/ ζεύγνυμεν ζεύγνυτε ζευγνῦσι καὶ ἰωνικῶς, ζευγνύασι. Παρατατικός.

Ἐζεύγνυν ἐζεύγνυς ἐζεύγνυ/ ἐζεύγνυτον ἐζευγνύτην/ ἐζεύγνυμεν ἐζεύγνυτε ἐζεύγνυσαν. οἱ δὲ ἄλλοι χρόνοι ἐξέλιπον. τὰ γὰρ τῆς τετάρτης μέχρι παρατατικοῦ κλίνονται.

Ζεύγνυθι ζευγνύτω. Προστακτικόν.

Ζευγνῦναι. Ἀπαρέμφατον.

Ὁ ζευγνὺς. Ἡ ζευγνῦσα. Τὸ ζευγνὺν. Μετοχή.

Ὁριστικὰ παθητικά. Ἐνεστώς.

Ζεύγνυμαι ζεύγνυσαι ζεύγνυται/ ζευγνύμεθον. ζεύγνυσθον ζεύγνυσθον/ ζευγνύμεθα ζεύγνυσθε. ζεύγνυνται. Παρατατικός.

Ἐζευγνύμην ἐζεύγνυσο ἐζεύγνυτο/ ἐζευγνύμεθον ἐζεύγνυσθον ἐζευγνύσθην/ ἐζευγνύμεθα ἐζεύγνυσθε ἐζεύγνυντο. Προστακτικόν.

Ζεύγνυσο ζευγνύσθω/ ζεύγνυσθον ζευγνύσθων ζεύγνυσθε ζευγνύσθωσαν. Ἀπαρέμφατον.

Ζεύγνυσθαι. Μετοχαί. Ὁ ζευγνύμενος. Ἡ ζευγνυμένη. Τὸ ζευγνύμενον.

Ὑπαρκτικὸν ῥῆμα. Ἐνεστώς

Εἰμὶ. εἶ. ἐστὶ/ ἐστὸν. ἐστὸν/ ἐσμὲν. ἐστὲ. εἰσί.

Παρατατικός.

Ἦν. ἦς. ἦν/ ἦτον. ἦτον/ ἦμεν. ἦτε. ἦσαν.
ἤμην. ἦσο. ἦτο. Ὑπερσυντέλικος.

Μέλλων.

Ἔσομαι ἔσῃ ἔσεται καὶ ἔσται/ ἐσόμεθον ἔσεσθον.
ἔσεσθον/ ἐσόμεθα ἔσεσθε ἔσονται. Προστακτικόν.
Ἔσο ἔστω/ ἔστον ἔστων/ ἔστε ἔστωσαν καὶ ἔστων.
Εὐκτικόν. Εἴην εἴης εἴη/ εἴητον εἰήτην/ εἴη-
μεν εἴητε εἴησαν καὶ εἶεν. Μέλλων.
Ἐσοίμην ἔσοιο ἔσοιτο/ ἐσοίμεθον ἔσοισθον ἐσοί-
σθην/ ἐσοίμεθα ἔσοισθε ἔσοιντο. Ὑποτακτικόν
ἐὰν ὦ ἦς ἦ/ ἐὰν ἦτον ἦτον/ ἐὰν ὦμεν ἦτε.
ὦσι. Ἀπαρέμφατον. Εἶναι. Μέλλων. Ἔσε-
σθαι. Μετοχαί.

Ὁ ὢν τοῦ ὄντος. Ἡ οὖσα τῆς οὔσης. Τὸ ὂν τοῦ
ὄντος. Μέλλων.

Ὁ ἐσόμενος τοῦ ἐσομένου. Ἡ ἐσομένη τῆς ἐσομέ-
νης. Τὸ ἐσόμενον τοῦ ἐσομένου.

Ἀλλὰ περὶ μὲν τῆς κλίσεως τῶν ῥημάτων ἅλις.
νῦν δὲ περὶ τῆς συγγενείας τῶν χρόνων καὶ μεταβο-
λῶν τῶν φωνηέντων καὶ διφθόγγων καὶ σχηματις-
μῶν τῶν χρόνων καὶ τινῶν ἀναγκαίων κανόνων
λέγωμεν.

ΠΕΡΙ ΤΗΣ ΣΥΓΓΕΝΕΙΑΣ ΤΩΝ ΧΡΟΝΩΝ ΚΑΙ ΜΕΤΑΒΟΛΙΚΩΝ ΚΑΙ ἈΜΕΤΑΒΟΛΩΝ ΦΩΝΗΕΝΤΩΝ ΚΑΙ ΔΙΦΘΟΓΓΩΝ ΚΑΙ ΠΕΡΙ ΣΧΗΜΑΤΙΣΜΟΥ ΤΩΝ ΧΡΟΝΩΝ ΚΑΙ ΤΙΝΩΝ ΚΑΝΟΝΩΝ ἈΝΑΓΚΑΙΩΝ.

Περὶ τῆς συγγενείας τῶν χρόνων.

Τριῶν ὄντων τῶν ἀρκτικῶν χρόνων δηλονότι ἐνεστῶτος παρακειμένου καὶ μέλλοντος ἀφ᾽ ὧν γίνονται ἄλλοι τρεῖς παρατατικὸς ὑπερσυντέλικος καὶ ἀόριστος· τρεῖς συγγένειαι τῶν ἓξ φαίνονται χρόνων· ἐνεστῶτος καὶ παρατατικοῦ· παρακειμένου καὶ ὑπερσυντελίκου· μέλλοντος καὶ ἀορίστου· ὅθεν καὶ ὁ παρατατικὸς τὸ τοῦ ἐνεστῶτος φυλάττει σύμφωνον· οἷον γράφω ἔγραφον· ὁ ὑπερσυντέλικος τοῦ παρακειμένου οἷον γέγραφα ἐγεγράφειν· ὁ ἀόριστος τοῦ μέλλοντος οἷον γράψω ἔγραψα· εἰσὶ δὲ τελικὰ τῶν μελλόντων τρία· ψ ξ σ· πλὴν τῶν ἀμεταβόλων· καὶ τρία τῶν παρακειμένων· φ χ κ· ὅθεν εἰ μὲν ὁ μέλλων τὸ ψ ἔχει, ὁ παρακείμενος τὸ φ· οἷον γράψω γέγραφα· εἰ δὲ ὁ μέλλων τὸ ξ ὁ παρακείμενος τὸ χ· οἷον λέξω λέλεχα· εἰ δὲ ὁ μέλλων τὸ σ ὁ παρακείμενος τὸ κ οἷον πλήσω πέπληκα· καὶ τὰ εἰς ἀμετάβολον δὲ καὶ ἔτι τὰ συ-

γκρημένα καὶ εἰς μι καὶ εἰς κα ποιοῦσι τὸν παρακείμενον.

Περὶ παντὸς ῥήματος.

Πᾶν δὴ ῥῆμα ἢ ἀπὸ φωνήεντος ἄρχεται ἢ διφθόγγου ἢ συμφώνου. τὸ μὲν ἀπὸ φωνήεντος ἢ μεταβολικοῦ ἢ ἀμεταβόλου.

Περὶ τῶν ἀπὸ ἀμεταβόλων φωνηέντων ἀρχομένων.

Εἰ μὲν ἀπὸ ἀμεταβόλου δηλονότι· η ι υ ω, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρῳχημένοις. οἷον ἠχέω ῶ ἤχεον ουν ἤχηκα ἠχήκειν ἤχησα. ἰξάω ἴξαον ἴξακα ἰξάκειν ἴξασα. ὑβρίζω. ὕβριζον ὕβρικα ὑβρίκειν ὕβρισα. ὠφελέω ῶ. ὠφέλεον ουν ὠφέληκα ὠφελήκειν ὠφέλησα. ταῦτα τοι καὶ ἀμετάβολα προσηγόρευται ὡς μὴ τρεπόμενα. Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ ἤτοι τοῦ ἐντρεπτοῦ δηλονότι· α ε ο, γίνεται τροπὴ ἐν τοῖς παρῳχημένοις ἣν χρονικὴν αὔξησιν καλοῦμεν. καὶ τὸ μὲν ἄρχεται ἀπὸ τοῦ α, τρέπεται κοινῶς τὸ α εἰς η. οἷον ἀνύω ἤνυον ἤνυκα ἠνύκειν ἤνυσα. ἐξαιρεῖται τὸ ἀηθέσσω ἀήθεσσον καὶ ἀηδίζομαι ἀηδιζόμην, διὰ τὴν ἐπαλληλίαν τῶν δύο ηη καὶ ἄω τὸ πνέω. ἄον ἵνα μὴ συνεμπέσῃ τῷ ἦον. καὶ ἀίω τὸ ἀκούω. ἄιον ἵνα μὴ συνεμπέσῃ τῷ ἤιον τῷ ἐπορευόμην.

Εἰ δὲ ἀπὸ τοῦ ε ἄρχεται ὁμοίως τρέπεται τὸ ε εἰς η. οἷον ἐλεέω ῶ ἠλέεον ουν ἠλέηκα ἠλεήκειν

ἠλέησα· πλὴν τῶν σεσημειωμένων· ἐν οἷς μένον τὸ ε προσλαμβάνεται καὶ ι· οἷον ἔχω εἶχον· ἕπω εἷπον· ἕλω εἷλον· ἑστήκω εἱστήκειν· ἕπομαι εἱπόμην· ἐάω ῶ εἴαον ων· ἑστιῶ εἱστίων· ἑρπύζω εἵρπυζον· ἕρπω εἷρπον· ἕλκω εἷλκον· ἑλκύω εἵλκυον· ἐρύω εἴρυον· ἐθίζω εἴθιζον· ἔθω εἴωθα· ἕω εἷμαι· ἐργάζομαι εἰργαζόμην.

Εἰ δὲ ἀπὸ τοῦ ο, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα· οἷον ὀνομάζω ὠνόμαζον· ὠνόμακα ὠνομάκειν· ὠνόμασα· παρὰ ποιηταῖς δὲ τὰ τοιαῦτα ἀναύξητα εἴτε ἄτρεπτα μένουσι διὰ τὸ μέτρον ἔθει ἰωνικῷ· οἷον ἄκουσεν ἀντὶ ἤκουσεν· ἔλαυνεν ἀντὶ ἤλαυνεν· ὀνόμηνεν ἀντὶ ὠνόμηνεν.

Περὶ τοῦ ἀττικοῦ παρακειμένου.

Ὅτε δὴ τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν μεταβολικῶν τούτων φωνηέντων, οἱ ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐνεργητικὸν καὶ παθητικὸν καὶ μέσον· τὰ ἀρκτικὰ δύο γράμματα τοῦ ἐνεστῶτος προστιθέντες τῷ κοινῷ παρακειμένῳ· καὶ τὴν τρίτην συλλαβὴν συστέλλοντες· οἷον ἀκούω ἤκουκα κοινῶς καὶ ἀκήκοα ἀττικῶς· ἀλείφω ἤλειφα κοινῶς καὶ ἀλήλειφα ἀττικῶς· ἐλάθω ἤλαθα κοινῶς καὶ ἐλήλυθα ἀττικῶς· μέσος παρακείμενος ἐνέγκω ἤνεγχα κοινῶς καὶ ἐνήνοχα ἀττικῶς· ὀμνῶ ὤμνωκα κοινῶς καὶ ὀμώμοκα ἀττικῶς· ὀ-

ὀλέω ῶ ὤλεκα καὶ ὀλώλεκα. ὀρύσσω ὤρυχα καὶ ὀρώρυχα. ὄλλω ὦλα μέσος παρακείμενος καὶ ἀττικῶς ὄλωλα. ὁμοίως καὶ ἐν τοῖς παθητικοῖς. οἷον ἤλειμμαι ἀλήλειμμαι. ἐν ἐνίοις δὲ μόνον προστιθέασιν ε. οἷον ὦσμαι ἔωσμαι. ὤνημαι ἐώνημαι ἐωνούμαι ἐωνούμην. ὥρακα ἑώρακα ἑώρων. ἀνῶγα ἀνέωγα. τὸ δὲ ξυνέηκε καὶ ἔειπε ποιητικά. ἥρηται δὲ καί τινα ὧν ἡ τρίτη συλλαβὴ οὐ συστέλλεται. οἷον ἄρηρα. ἔδηδα. ἀλάλημαι.

Περὶ τῶν ἀπὸ διφθόγγων ἀρχομένων ῥημάτων.

Εἰ δὲ ἀπὸ διφθόγγου ἄρχεται τὸ ῥῆμα, ἢ ἀπὸ τρεπτῆς ἢ ἀπὸ ἀτρέπτου. εἰ μὲν ἀπὸ ἀτρέπτου δηλονότι ευ ει ου, οὐδεμία τροπὴ γίνεται. οἷον εὕδω εὗδον καὶ ηὗδον ἀττικῶς. εἰκάζω εἴκαζον. οὐρέω ῶ οὔρεον ουν. εἰ δὲ ἀπὸ τρεπτῆς δηλονότι αι αυ οι, γίνεται καὶ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων. εἰ μὲν ἀπὸ τοῦ αι τρέπεται τὸ α εἰς η καὶ τὸ ι ὑπογράφεται. ὅθεν καὶ τὸ ῃ δίφθογγός ἐστι καταχρηστική. οἷον αἴρω ἦρον ἦρκα ἤρκειν. εἰ δὲ ἀπὸ τῆς αυ τρέπεται τὸ α εἰς η οἷον αὐλέω ῶ. ηὔλεον ουν ηὔληκα ηὐλήκειν ηὔλησα. εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο μικρὸν εἰς ω μέγα καὶ τὸ ι ὑπογράφεται. ὅθεν καὶ τὸ ῳ δίφθογγός ἐστι καταχρηστική. οἷον οἰκτείρω ᾤκτειρον ᾤκτειρα. πλὴν τῶν σεσημειωμένων ἀτρέπτων οἷον

οἰῶμαι οἰώθη· οἰμῶ οἴμησα· οἰνῶ οἴνησα· οἰνίζω
οἴνισα· οἰστρῶ οἴστρωσα· οἰωνίζομαι οἰωνισάμην·
οἰωνοσκοπῶ οἰωνοσκόπησα· οἰωνοπολῶ οἰωνο-
πόλησα· οἰακίζω οἰάκισα· οἰακονομῶ οἰακο-
νόμησα· οἰακοστροφῶ οἰακοστρόφησα· ἔνιοι δὲ
καὶ τὸ οἰδαίνω καὶ οἰκουρῶ ἐσημειώσαντο.

Περὶ τῶν ἀπὸ συμφώνων ἀρχομένων ῥημάτων.

Εἰ δὲ ἀπὸ συμφώνου ἄρχεται τὸ ῥῆμα, ὁ παρατα-
τικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσλα-
μβάνουσιν ε· ὅπερ συλλαβικὴν αὔξησιν καλοῦ-
μεν· οἷον γράφω ἔγραφον.

Περὶ παρακειμένου καὶ πότε ἀναδιπλασιάζεται.

Ὅτε δὲ ὁ παρατατικὸς τούτων ἄρχεται ἀπὸ μα-
κρᾶς θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακεί-
μενος· οἷον ἔφθειρον ἔφθαρκα· ἔσπειρον ἔσπαρκα.
ὅτε δὲ ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς, ἀναδι-
πλασιάζεται ὁ παρακείμενος διὰ τοῦ συμφώνου
τοῦ ἐνεστῶτος· οἷον ἔτυπτον τέτυφα· ἔλεγον λέ-
λεχα· ἔλειβον λέλειφα· ἔγραφον γέγραφα· ἔγλυ-
φον γέγλυφα· ἔπλωον πέπλυκα· πλὴν τῶν ἀρ-
χομένων ἀπὸ τοῦ γν καὶ γρ· οἷον γνωρίζω ἐγνώ-
ριζον ἐγνώρικα· γρηγορέω ῶ ἐγρηγόρικα· διὰ γὰρ
κακοφωνίαν οὐκ ἀναδιπλασιάζονται· καὶ τῶν
ἀρχομένων ἀπὸ ρ οἷον ῥητορεύω ἐρρητόρευκα·
ῥαπίζω ἐρράπικα· τὸ δὲ ῥερυπωμένα καὶ ἄλλα

ποιητικά. καὶ τῶν ἀρχομένων ἀπὸ διπλῶν ζ. ξ ψ. οἷον ζῶ ἔζηκα. ξέω ἔξεκα. ψάλλω ἔψαλκα. Τὰ δὲ ἀπὸ δασέων θ φ χ. ἀρχόμενα ἀναδιπλασιάζονται μέν. τρέπονται δὲ τὰ δασέα εἰς ψιλά. ὧν τὸ θ εἰς τ τρέπεται οἷον θεωρέω ῶ τεθεώρηκα. τὸ φ εἰς π οἷον φωνέω ῶ πεφώνηκα. τὸ χ εἰς κ οἷον χωνάω κεχώνακα. ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ λ ἢ μ, οἱ ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐκβολῇ τοῦ πρώτου λ καὶ πλεονασμῷ τοῦ ι οἷον λήβω λήψω λέληφα κοινῶς καὶ εἴληφα ἀττικῶς. λήχω λήξω λέληχα καὶ εἴληχα. μείρομαι μεροῦμαι μέμαρμαι καὶ εἵμαρμαι ὅθεν εἱμαρμένη.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος δὲ προσλαμβάνει τὸ ε αὔξησιν οἷον γέγραφα ἐγεγράφειν. τέτυφα ἐτετύφειν.

Περὶ τῆς αὐξήσεως τῶν συνθέτων ῥημάτων.

Τούτων οὕτως ἐχόντων δεῖ εἰδέναι ὅτι ὅτε αἱ προθέσεις οὐδὲν πλέον τοῦ ῥήματος σημαίνουσιν ἐν τῇ συνθέσει, γίνεται καὶ συνήθης αὔξησις ἐν τῇ ἀρχῇ τοῦ ῥήματος πρὸ τῆς προθέσεως. οἷον ἐνέπω ἤνεπον. καθάδω ἐκάθαδον. καθαίρω ἐκάθαιρον. ὅτε δὲ πλέον αὐτοῦ σημαίνουσι, γίνεται καὶ αὔξησις μετὰ τὴν πρόθεσιν ἐν τῇ ἀρχῇ τοῦ ῥήματος. οἷον. παρακούω παρήκουον. ἐπομνύω ἐπώμνυον;

ἐπαινῶ ἐπῄνουν· καταγράφω κατέγραφον· ἐ-
πιστέλλω ἐπέστελον· ἐν τούτοις δὲ ἀρχομένης
τῆς αὐξήσεως ἀποβάλλεται τὸ φωνῆεν τῆς προθέ-
σεως. Τὰ δὲ ἀρχόμενα ἀπὸ προθέσεων ἔθει ἀ-
ττικῷ ἔξωθεν ποιοῦσι τὴν αὔξησιν· οἷον ἀντιβολῶ
ἠντιβόλουν· ἀμφισβητῶ ἠμφισβήτουν· τὸ δὲ ἐνο-
χλῶ ἠνώχλουν· καὶ ἀνορθῶ ἠνώρθουν· καὶ ἀνέχο-
μαι ἠνεσχόμην· καὶ παροινῶ ἐπαρῴνουν καὶ πε-
παρῴνηκα· διπλῆν τὴν αὔξησιν ποιοῦσιν.
Ἔτι ἔνια τὰ ἀπὸ τοῦ δυς καὶ α ἀρχόμενα ἔσω-
θεν αὐξάνουσιν· οἷον δυσαπιστῶ δυσηπίστουν· δυ-
σαρεστῶ δυσηρέστουν· ἀορκῶ ἀώρκουν· ἀεργε-
τῶ ἀηργέτουν· ἀαγγελίζομαι ἀηγγελισάμην.
Τούτων οὕτως εἰρημένων, σχηματιστέον ἂν εἴη·
καὶ τοὺς χρόνους εἰδικῶς καὶ τινὰς κανόνας ἀναγ-
καιοτάτους ἐκδοτέον.

Περὶ τοῦ σχηματισμοῦ τῶν χρόνων.

Ἀπὸ τοῦ τύπτω. Ὁ παρατατικὸς ἔτυπτον τρο-
πῇ τοῦ ω εἰς ον προστιθεμένου τοῦ ε τῆς αὐξήσε-
ως· ἢ ἀπὸ τοῦ τύπτοντος ἐκβολῇ τοῦ τος καὶ
προσθέσει τοῦ ε φυλάττει δὲ πάντα τοῦ ἐνεστῶ-
τος.

Περὶ παρακειμένου.

Ὁ παρακείμενος ἀπὸ τοῦ μέλλοντος τροπῇ τοῦ ω
εἰς α καὶ τοῦ ψ εἰς φ· ὅθεν ὅτε ὁ μέλλων τὸ ψ ἔ-
χει ὁ παρακείμενος τὸ φ. ἔχει δὲ τὴν αὐτὴν παρα

λήγουσαν τῷ μέλλοντι· οἷον τύπτω τέτυφα· γρά
φω γέγραφα· ποιήσω πεποίηκα· δώσω δέδω-
κα· πλὴν τῶν δισυλλάβων ῥημάτων τῆς πέμ-
πτης συζυγίας τῷ ε παραληγόντων· ταῦτα γὰρ
τὸ ε τοῦ μέλλοντος εἰς α τρέπουσιν ἐν τῷ παρα
κειμένῳ· οἷον κείρω κερῶ κέκαρκα· σπείρω σπερῶ
ἔσπαρκα· στέλλω στελῶ ἔσταλκα· κτείνω κτενῶ
ἔκτακα· καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης
καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων· ταῦτα
γὰρ τρέπουσι τὸ ε εἰς ο ἔθει ἀττικῷ· οἷον λέγω λέ
ξω λέλεχα κοινῶς καὶ λέλοχα ἀττικῶς· πλέ-
κω πλέξω πέπλεχα κοινῶς καὶ πέπλοχα ἀ-
ττικῶς· πέμπω πέμψω πέπεμφα κοινῶς καὶ
πέπομφα ἀττικῶς· βρέχω βρέξω βέβρεχα καὶ
βέβροχα· Πᾶς δὲ παρακείμενος εἰς κα μα
κρᾷ παραλήγων, εἰ ἀποβάλλει τὸ κ συστέλλει
τὴν παραλήγουσαν ἔθει ἰωνικῷ· οἷον ἕστακα ἕ
σταα· βέβηκα βέβαα· τέθνηκα τέθναα· δέδοι-
κα δέδια· γέγηκα γέγαα· Περὶ τοῦ μέσου.
Ὁ μέσος παρακείμενος τέτυπα διὰ π· περὶ οὗ ἰ-
στέον ὅτι ὅτε ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου
ἐκφέρεται, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμε
νος· οἷον λέγω λέλεγα· πείθω πέποιθα· λείπω λέ
λοιπα· ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμφώνων ἐκ
φέρεται, τότε ὁ μέσος παρακείμενος φυλάττει τὸ

σύμφωνον τοῦ ῥηματικοῦ ὅπερ ἀπὸ τοῦ ἐνεστῶτος παράγεται. οἷον ἀπὸ τοῦ κλέπτω κλοπὴ τὸ ῥηματικόν, ὁ μέσος παρακείμενος κέκλοπα. ἀπὸ τοῦ τύπτω τύπος. μέσος παρακείμενος τέτυπα. βλάπτω βλάβη βέβλαβα. μέσος παρακείμενος ὃς καὶ ἀπὸ τοῦ βλάβω γίνεται. εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἐκ τοῦ ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ μέσος παρακείμενος. οἷον ἀπὸ τοῦ ῥέγχω ῥόγχος ὁ μέσος παρακείμενος ἔρρογχα. Ὅτε δὲ ὁ ἐνεστὼς λήγων εἰς ζ ἢ εἰς δύο σσ εἰς ξ τὸν μέλλοντα ποιεῖ, τότε ὁ μέσος παρακείμενος τὸ γ ἔχει. οἷον κράζω κράξω κέκραγα. πλήσσω πλήξω πέπληγα. Ὅτε δὲ ὁ ἐνεστὼς εἰς ζω λήγων, εἰς σ τὸν μέλλοντα ποιεῖ, τὸ δ ὁ μέσος παρακείμενος ἔχει. οἷον φράζω φράσω πέφραδα. Ὅτε δὲ ὁ ἐνεστὼς καθαρῶς προφέρεται καὶ ὁ μέσος παρακείμενος ὁμοίως. οἷον ἀκούω ἤκουα κοινῶς καὶ ἀκήκοα ἀττικῶς. Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ μέσος παρακείμενος τῷ πρώτῳ παρακειμένῳ. οἷον τέτυφα τέτυπα· πέπληχα πέπληγα· μέμηκα μέμηθα. Ὅτε δὲ αἱρεθῇ ε ἐν δυσυλλάβῳ μέλλοντι, εἰ μὲν μόνον, τρέπεται εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον λέξω λέλογα. τέξω τέτοκα. γενῶ γέγονα. σπερῶ ἔσπορα. φθερῶ ἔφθορα. Εἰ δὲ μετὰ τοῦ ι ἐν δι-

φθόγγῳ ει, ὁμοίως τὸ ε τρέπεται εἰς ο καὶ τὸ ι
προσγράφεται. οἷον πείθω πείσω πέπεικα πέποι-
θα. εἴδω εἴσω. εἶκα. οἶδα. εἴκω εἴξω οἶκα καὶ
ἀττικῶς ἔοικα. Τὰ δὲ δισύλλαβα εἰς ἐν λ τη-
ροῦσι τὸ ε καὶ ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον μέ-
λω μελῶ μέμελα καὶ μέμηλα. τροπῇ τοῦ ε εἰς η
ὅθεν μεμηλώς. τελῶ τέτελα. ὅτε δὲ ὁ ἐνεστὼς διὰ
δύο ἀμεταβόλων ἐκφέρεται τότε ὁ μέσος παρακεί-
μενος τὸ α ἔχει. οἷον κάμνω κέκαμα. τέμνω τέτα-
μα. Ὅτε δὲ ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγει
τρέπεται τὸ α εἰς η ἐν τῷ μέσῳ παρακειμένῳ
καὶ τὸ ι ὑπογράφεται. οἷον φαίνω πέφηνα. χαί-
νω κέχηνα. μαίνω μαίμηνα δαίω δαίδηα.
Ὅτε δὲ ὁ μέλλων περιττοσυλλαβεῖ τοῦ ἐνεστῶτος,
τότε καὶ ὁ παρακείμενος τοῦ μέσου παρακειμέ-
νου. οἷον δουπῶ δουπήσω δεδούπηκα δέδου-
πα. κτυπῶ κτυπήσω ἐκτύπηκα ἔκτυπα. ἀνω-
γῶ ἀνωγήσω ἠνώγηκα ἤνωγα. Ἔτι πολλάκις
οἱ αὐτοί εἰσι πρῶτοι παρακείμενοι καὶ μέσοι. οἷον
γέγραφα εἴληφα.

Περὶ ὑπερσυντελίκου.

Ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου τροπῇ
τοῦ α εἰς ειν προστεθέντος καὶ τοῦ ε τῆς αὐξήσε-
ως. οἷον τέτυφα ἐτετύφειν τέτυπα ἐτετύπειν. φυ-
λάττουσι δὲ πάντα τὰ τοῦ παρακειμένου.

Περὶ ἀορίστου πρώτου.

Ὁ πρῶτος ἀόριστος ἀπὸ τοῦ πρώτου μέλλοντος τροπῇ τοῦ ω εἰς α· οἷον τύψω ἔτυψα. ἔχει δὲ τὴν αὐτὴν παραλήγουσαν τῷ μέλλοντι· καὶ ἢ φύσει μακρᾷ παραλήγει οἷον ἐποίησα. ἢ θέσει οἷον ἔπλεξα. ἢ φύσει καὶ θέσει οἷον ἤμειψα. ἢ θέσει παρὰ ποιηταῖς οἷον ἐτέλεσσα. ἔχει δὲ τελικὰ σύμφωνα ἑπτά. ψ. οἷον ἔτυψα. ξ. οἷον ἔλεξα. σ. οἷον ἐποίησα. λ. οἷον ἔστειλα. μ. οἷον ἔνειμα. ν. οἷον ἔμεινα. ρ οἷον ἔσπειρα. φυλάττει δὲ αὐτὸ σύμφωνον τοῦ μέλλοντος. οἷον λέξω ἔλεξα. ποιήσω ἐποίησα. σεσημείωται τὸ ἔδωκα. ἔθηκα. ἤνεγκα ἧκα. εἶπα ἔξω τοῦ κανόνος. τὸ δὲ εἶξον ἀντὶ ἴκον βοιωτῶν τροπῇ τοῦ κ εἰς ξ ὥσπερ τὸ εἴξασιν ἀντὶ εἴκασιν.

Σημείωσαι δὲ καὶ τοὺς τῆς πέμπτης συζυγίας ἀορίστους πρώτους φύσει μακρᾷ παραλήγοντας. ὅτε ὁ μέλλων αὐτῶν περισπώμενος ἔχει ε ὁ ἀόριστος προσλαμβάνει ι οἷον νεμῶ ἔνειμα. σπερῶ ἔσπειρα στελῶ ἔστειλα. φθερῶ ἔφθειρα. ὅτε δὲ τὸ α μόνον ἔχει ὁ μέλλων, τρέπει αὐτὸ εἰς η ὁ ἀόριστος. οἷον ψαλῶ ἔψηλα. ἀγαλῶ ἤγηλα.

Ὅτε δὲ τὸ α ἀπὸ τῆς αι διφθόγγου τοῦ ἐνεστῶτος ὁμοίως τρέπει εἰς η ἢ φυλάττει αὐτὸ μακρὸν οἷον φαίνω φανῶ ἔφηνα. χαίνω χανῶ ἔχηνα. σημαίνω σημανῶ ἐσήμηνα καὶ ἐσήμανα. καὶ ἐθέρμανα

καὶ ἐκλίναντα τοῦ μακροῦ ὄντος.

Περὶ δευτέρου ἀορίστου.

Ὁ δεύτερος ἀόριστος εἰς ον λήγει· οἷον ἔτυπον. φυ-
λάττων τὸ σύμφωνον τοῦ μέσου παρακειμένου.
ὅσα οὖν εἴρηται ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ ἀορίστου
δευτέρου ῥηθήσεται. ὅτε ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ
συμφώνου ἐκφέρεται διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος
παρακείμενος καὶ δεύτερος ἀόριστος. οἷον λείπω
λέλοιπα ἔλιπον. ὅτε δὲ ὁ ἐνεστὼς διὰ δύο συμ
φώνων ἐκφέρεται, δι' οὗ τὸ ῥηματικὸν ἐκφέρεται,
διὰ τοῦ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος καὶ δεύ-
τερος ἀόριστος. οἷον σκάπτω σκαφὴς ἔσκαφα ἔ-
σκαφον. βλάπτω βλάβη βέβλαβα ἔβλαβον.
ὅτε δὲ ὁ ἐνεστὼς εἰς ζω ἢ εἰς σσω λήγων, εἰς ξ τὸν
μέλλοντα ποιεῖ, ὁ μέσος παρακείμενος καὶ δεύτε-
ρος ἀόριστος τὸ γ ἔχουσιν. οἷον κράζω κράξω κέ
κραγα ἔκραγον. ὀρύσσω ὀρύξω ὤρυγα ὤρυγον.
ὅτε δὲ ὁ ἐνεστὼς εἰς ζω λήγων εἰς σω τὸν μέλλον
τα ποιεῖ, τὸ δ ὁ μέσος παρακείμενος καὶ δεύτε-
ρος ἀόριστος ἔχουσιν. οἷον φράζω φράσω πέφρα
δα ἔφραδον. ὅτε δὲ ὁ μέσος παρακείμενος καθα
ρῶς προφέρεται, ὁμοίως καὶ ὁ ἀόριστος οἷον ἤκου
α ἤκουον. Ἔτι ὅτε ὁ δεύτερος ἀόριστος ἀπὸ βα
ρυτόνου θέματος γινόμενος ἰσοσυλλαβεῖ τῷ πρώ
τῳ οἷον ἔτυψα ἔτυπον. ἤκουσα ἤκουον. ἀπὸ δὲ

περισπωμένου γινόμενος, ἐλαττοῦται· οἷον δου-
πῶ ἐδούπησα ἔδουπον· μυκῶ ἐμύκησα ἔμυ-
κον· χρασμῶ ἐχράσμησα ἔχρασμον· ὀλισθῶ
ὠλίσθησα ὤλισθον· κτυπῶ ἐκτύπησα ἔκτυπον·
ἀμωγῶ ἠμώγησα ἤμωγον· Ἔτι ὁ δεύτερος ἀόρι-
στος δισύλλαβος καὶ ὑπερδισύλλαβος εἴτε ἀπὸ
βαρυτόνου εἴτε περισπωμένου θέματος γίνεται,
βραχυκαταληκτεῖ διχρόνῳ παραλήγων· οἷον ἔτυ-
πον ἔγραφον ἔλιπον· καὶ εἰ μὲν ἐστὶν ευ δίφθο-
γγος ἢ αυ ἐν τῷ ἐνεστῶτι, ἀποβάλλεται τὸ υ αὐ-
τῆς ἐν τῷ δευτέρῳ ἀορίστῳ· οἷον φεύγω ἔφυγον· τεύ-
χω ἔτυχον· ἐλεύθω ἤλυθον· παίω ἔπαον· ὁμοί-
ως εἰ ἐστὶν ει ἀποβάλλεται τὸ ι· οἷον λείπω ἔλι-
πον· πείθω ἔπιθον· ὀφείλω ὤφελον· Ἔτι εἰ ἐ-
στὶν αι οἷον φαίνω ἔφανον· καίω ἔκαον· δαίω ἔ-
δαον· εἰ δὲ ἐστὶν η τρέπεται εἰς α· οἷον λήβω ἔ-
λαβον· πήθω ἔπαθον· λήχω ἔλαχον· φήγω ἔ-
φαγον· δήκω ἔδακον· ὅτε δὲ ὁ μέσος παρακεί-
μενος τὸ α ἔχει ἀπὸ ἐνεστῶτος δύο ἀμετάβολα
ἔχοντος γινόμενος, ὁμοίως καὶ ὁ δεύτερος ἀόριστος
τὸ α ἔχει· οἷον κάμνω κέκαμα ἔκαμον· δάμνω
δέδαμα ἔδαμον· τάμνω τέταμα ἔταμον· ὅτε
δὲ ἐν δισυλλάβοις ἐνεστῶσιν εὑρεθῇ τὸ ε ἢ μόνον
ἢ μετὰ τοῦ ι ἀμεταβόλου προηγουμένου ἢ ἐπι-
φερομένου ὡς ἐπὶ τὸ πλεῖστον τρέπεται τὸ ε εἰς α

ἐν τῷ δ' ἀτέρῳ ἀορίστῳ οἷον στέλλω ἔσταλον· τέμω ἔταμον· δέρω ἔδαρον· πέρθω ἔπραθον καὶ ἔπαρθον· δέρκω ἔδρακον καὶ ἔδαρκον· κλέπτω ἔκλαπον· πλέκω ἔπλακον· τρέπω ἔτραπον· τρέφω ἔτραφον· βρέχω ἔβραχον· κείρω ἔκαρον· φθείρω ἔφθαρον· σπείρω ἔσπαρον· Τούτων οὕτως ἐχόντων, ὁρῶνται ἀόριστοι δ' ἅτεροι ἀπὸ περισπωμένων μακροκαταληκτοῦντες, οἷον χραισμῶ ἔχραισμον· ὀλισθῶ ὤλισθον· βλαστῶ ἔβλαστον· ἀλαλκῶ ἤλαλκον· ἁμαρτῶ ἥμαρτον· δουπῶ ἔδουπον· ἀνωγῶ ἤνωγον· καὶ ἔτι ἀπὸ βαρυτόνων οἷον εἶπον· εἷλον· εἷλκον· εἶδον· ἧκον· ἆρον· ἦλθον· ἦγον· ἤνεγκον ἔπληγον σωματικῶς ἔπλαγον δὲ ψυχικῶς ἔπεφνον·

Περὶ τοῦ μέλλοντος πρώτου·

Ὁ μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεστῶτος· καὶ συνάρχεται αὐτῷ· οἷον γράφω γράψω· λέγω λέξω· τὰς αὐτὰς συλλαβὰς ἔχων· τὰ δὲ εἰς ἓν λ λήγοντα βαρύτονα περιττεύοντα μέλλοντα ποιοῦσιν· οἷον μέλω μελήσω· θέλω θελήσω· ὀφείλω ὀφειλήσω· ἔτι τὸ αὔξω αὐξήσω ποιεῖ καὶ ἕψω ἑψήσω· καὶ ἀλέξω ἀλεξήσω· ὅτι παρὰ τοῖς παλαιοῖς περισπώμενα ὄντα, οἱ Ἀθηναῖοι βαρύτονα πεποιήκασι· φυλάττουσι μέντοι τὴν τῶν περισπωμένων κλίσιν· Ἔτι πάντα τὰ περισπώμενα οἷον ποιῶ

ποιήσω· βοῶ βοήσω· χρυσῶ χρυσώσω. Τὰ εἰς μι δὲ τὸ ἐναντίον πάσχοντα ἀποβάλλουσι τὴν κατ᾽ ἀρχὴν ἀναδίπλωσιν ἐν τῷ μέλλοντι· οἷον ἵστημι στήσω· δίδωμι δώσω. Φυλάττει δὲ ὁ μέλλων τὴν παραλήγουσαν τοῦ ἰδίου ἐνεστῶτος οἷον γράφω γράψω· λέπω λέψω· πλὴν τῶν τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων· ταύτης γὰρ οἱ μέλλοντες ἀποβάλλουσιν ἓν ἀμετάβολον ἢ τὸ ι τῆς διφθόγγου ἵνα τὴν παραλήγουσαν αὐτῶν βραχεῖαν ποιήσωσιν· οἷον ψάλλω ψαλῶ· βάλλω βαλῶ· φαίνω φανῶ· σπείρω σπερῶ· καὶ πλὴν τῶν σεσημειωμένων· πλέω πλεύσω· ῥέω ῥεύσω· χέω χεύσω· πνέω πνεύσω· οἱ γὰρ τούτων μέλλοντες προσλαμβάνουσιν υ ἀπὸ ἀρχαίων ἐνεστώτων γινόμενοι· πλεύω· ῥεύω· χεύω· πνεύω.

Ἔτι καὶ τὸ καίω καύσω· καὶ κλαίω κλαύσω· ἢ ἀπὸ τοῦ καύω καὶ κλαύω· ἢ ὅτι τῶν ἀθηναίων ἐκβαλλόντων τὸ ι τοῦ ἐνεστῶτος κάω καὶ κλάω λεγόντων πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι.

Ἔτι οἱ ἀθηναῖοι ἐπὶ τῶν εἰς ζω βαρυτόνων ὑπὲρ δισυλλάβων βραχὺ τὸ ι ἐχόντων, ἀποβολῇ τοῦ σ περισπώμενον μέλλοντα ποιοῦσιν· οἷον νομίζω νομίσω κοινῶς νομιῶ ἀττικῶς· κομίζω κομίσω κομιῶ· ἀγωνίζομαι ἀγωνίσομαι ἀγωνιοῦμαι· βαδίζομαι βαδίσομαι βαδιοῦμαι.

Περὶ μέλλοντος δευτέρου.

Ὁ δεύτερος μέλλων τυπῶ περισπώμενος ἀπὸ τοῦ
δευτέρου ἀορίστου· ὅθεν καὶ τὸ σύμφωνον αὐτοῦ
ἀεὶ φυλάττει· συνάρχεται δὲ τῷ πρώτῳ μέλλοντι
καὶ περὶ μὲν τῶν ἐνεργητικῶν ἱκανῶς· νῦν δὲ πε
ρὶ τῶν παθητικῶν λέγωμεν.

Περὶ σχηματισμοῦ τῶν παθητικῶν.

Ὁ ἐνεστὼς τύπτομαι ἀπὸ τοῦ τύπτω τροπῇ τοῦ ω
μεγάλου εἰς ο μικρὸν καὶ προσθέσει μαι.

Περὶ παρατατικοῦ.

Ὁ παρατατικὸς ἀπὸ τοῦ ἐνεργητικοῦ παρατατι
κοῦ προσθέσει μην οἷον ἔτυπτον ἐτυπτόμην· τίθεται
δὲ τοῖς ἀρχομένοις ἀπὸ συμφώνων ε αὔξησις· οἱ
ἀττικοὶ δὲ αὔξησιν ἐπαύξησει ποιοῦντες, ἠβουλό
μην ἀντὶ ἐβουλόμην· καὶ ἠδυνάμην ἀντὶ ἐδυνά-
μην· καὶ ἔτι ἤμελλον ἀντὶ ἔμελλον λέγουσιν.

Περὶ παθητικοῦ παρακειμένου.

Ὁ παθητικὸς παρακείμενος ἀπὸ τοῦ ἐνεργητικοῦ
τροπῇ τοῦ φα εἰς μαι οἷον τέτυφα τέτυμμαι.
ὅτε δὲ ὁ ἐνεργητικὸς πρὸ τοῦ α φ ἔχει, ὁ παθητι
κὸς λήγων ἀεὶ εἰς μαι πρὸ τοῦ μ, λαμβάνει καὶ
ἕτερον μ· οἷον γέγραφα γέγραμμαι· τέτυφα τέ
τυμμαι· ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει χ, ὁ παθητι-
κὸς προσλαμβάνει γ οἷον πέπλεχα πέπλεγμαι
ὅτε δὲ ὁ ἐνεργητικὸς ἔχει κ· εἰ μὲν μακρᾷ παρα

λήγει ἀπὸ περισπωμένου θέματος ὤν, ὁ παθητικὸς
οὐδὲν προσλαμβάνει· οἷον ποιῶ πεποίηκα πε-
ποίημαι· βοῶ βεβόηκα βεβόημαι. εἰ δὲ βραχὺ
α παραλήγει, ὁ παθητικὸς προσλαμβάνει σ· οἷον
τελῶ τετέλεκα τετέλεσμαι. Ἔτι ὅτε ὁ εἰς κα
παρακείμενος ἀπὸ βαρυτόνου θέματος γίνεται
τῆς τρίτης καὶ τετάρτης συζυγίας, ὁμοίως ὁ πα-
θητικὸς προσλαμβάνει σ· οἷον πείθω πέποικα
πέπεισμαι· λακτίζω λελάκτικα λελάκτισμαι.
οἱ δὲ τῆς πέμπτης συζυγίας ἀπὸ τῶν εἰς λω καὶ
ρω γινόμενοι, πρὸ τοῦ μ φυλάττουσι τὸ ἀμετά-
βολον· ψάλλω ἔψαλμαι· σπείρω ἔσπαρμαι· τὰ
δὲ εἰς νω ὡς ἐπὶ τὸ πλεῖστον τρέπουσι τὸ ν εἰς
γ ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ ἐπειδὴ τὸ ν πρὸ
τοῦ γ ἢ κ ἢ ξ ἢ χ εἰς γ τρέπεται· οἷον μιαίνω
μεμίαγκα· μολύνω μεμόλυγκα. τοῦτο δὲ τὸ τρα-
πὲν γ ἀπὸ τοῦ ν, τρέπεται κοινῶς εἰς μ ἐν τῷ
παθητικῷ παρακειμένῳ· οἷον μεμίαγκα μεμία-
μμαι· μεμόλυγκα μεμόλυμμαι· οἱ δὲ ἀττικοὶ
τὸ μ εἰς σ τρέποντες· μεμίασμαι καὶ μεμόλυσ-
μαι λέγοντας. Τῶν δὲ τῆς ἕκτης συζυγίας πα-
ρακειμένων, οἱ μὲν προσλαμβάνουσι σ· οἷον σβέ-
ω ἔσβεσμαι· ζέω ἔζεσμαι· κελάω κεκέλασμαι·
κρούω κέκρουσμαι. οἱ δέ, οὔ· οἷον βασιλάω βε-
βασίλαμαι. Ἀεὶ δὲ ὁ παθητικὸς παρακείμενος

ἀπὸ τῶν εἰς ω γινόμενος, τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ ἐνεργητικῷ· οἷον τέτυφα τέτυμμαι· πεποίηκα πεποίημαι· πέπεικα πέπεισμαι· πλὴν τῶν ἀπὸ δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων· οὗτοι γὰρ ἀναλαμβάνουσι τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος ἥτις τρέπεται εἰς ο μικρὸν ἐν τῷ ἐνεργητικῷ παρακειμένῳ ὡς εἴρηται ἔθει ἀττικῷ· οἷον λέγω λέλοχα λέλεγμαι· κλέπτω κέκλοφα κέκλεμμαι καὶ κέκλαμμαι εἴρηται· καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνου· τούτων γὰρ οἱ παθητικοὶ παρακείμενοι τρέπουσι τὸ ε εἰς α· οἷον στρέφω ἔστρεφα ἔστραμμαι· τρέφω τέθραμμαι τρέπω τέτρεφα τέτραμμαι· σεσημείωται τὸ βρέχω βέβροχα βέβρεγμαι· καὶ ἔτι δέδωκα δέδομαι.

Περὶ ὑπερσυντελικοῦ.

Ὁ ὑπερσυντέλικος ἀπὸ τοῦ παρακειμένου τροπῇ τοῦ μαι εἰς μην· προσλαμβάνει δὲ τὸ ε αὔξησιν ὥσπερ καὶ ὁ ἐνεργητικὸς φυλάττων πάντα τὰ τοῦ παρακειμένου· οἷον τέτυμμαι ἐτετύμμην· γέγραμμαι ἐγεγράμμην.

Περὶ παθητικοῦ πρώτου ἀορίστου.

Ὁ παθητικὸς πρῶτος ἀόριστος ἀπὸ τοῦ παθητικοῦ παρακειμένου τροπῇ τοῦ μαι εἰς θην λήγων ἀεὶ εἰς θω· καὶ εἰ μὲν ὁ παρακείμενος ἄρχεται ἀπὸ

φωνῆεν τὸ ἢ δίφθογγον συνάρχεται αὐτῷ· οἷον ὦ-
πλισμαι ὡπλίσθην· εἰ δὲ ἄρχεται ὁ παρακείμε-
νος ἀπὸ συμφώνου, ἀποβάλλει ὁ ἀόριστος τὸ σύμ-
φωνον τοῦ ἀναδιπλασιασμοῦ· οἷον πεποίημαι ἐ-
ποιήθην· τέτυμμαι ἐτύφθην· καὶ τὸ εὑρεθὲν σύμ-
φωνον πρὸ τοῦ μ τοῦ παθητικοῦ παρακειμένου
φυλάττει· οἷον κέκαρμαι ἐκάρθην· ἔψαλμαι ἐ-
ψάλθην· ἔζεσμαι ἐζέσθην· πλὴν εἰ μὴ εἴη μ ἢ γ·
ὅτε γὰρ εὑρεθῇ μ ἀπὸ τοῦ φ μεταβληθὲν, τρέπει
αὐτὸ εἰς τὸ φ· οἷον τέτυμμαι ἐτύφθην· γέγραμμαι
ἐγράφθην· ὅτε δὲ τὸ γ ἀπὸ τοῦ χ μεταβληθὲν
τρέπει αὐτὸ εἰς τὸ χ· οἷον λέλεγμαι ἐλέχθην· τὸ δὲ
ἐμολύνθην καὶ ἐμιάνθην ἔχει ν διὰ τὴν ἐπιφορὰν
τοῦ θ· Τὴν αὐτὴν δὲ παραλήγουσαν ἔχει ὁ ἀόρι-
στος τῷ παθητικῷ παρακειμένῳ· οἷον τέτυμμαι ἐ-
τύφθην· πεποίημαι ἐποιήθην· πλὴν τοῦ ἥρημαι
ἡρέθην· ὅθεν καὶ αἱρετής· καὶ ἐπῄνημαι ἐπῃνέθην
καὶ τῶν ἀπὸ τοῦ αἱρῶ περισπωμένων· οἷον καθῄρη-
μαι καθῃρέθην· ἀφῄρημαι ἀφῃρέθην· καὶ τῶν ἐχόν-
των τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνων καὶ τρεπόν-
των τὸ ε εἰς α ἐν τῷ παθητικῷ παρακειμένῳ·
οἷον ἔστραμμαι ἐστρέφθην· τέτραμμαι ἐτρέφθην·

Περὶ παθητικοῦ δευτέρου ἀορίστου.

Ὁ παθητικὸς δεύτερος ἀόριστος ἀπὸ τοῦ ἐνεργητι-
κοῦ δευτέρου ἀορίστου τροπῇ τοῦ ον εἰς ην· ὅθεν

καὶ τὸ ἐκείνου φυλάττει σύμφωνον· οἷον ἔτυπον ἐτύπην· ἔβλαβον ἐβλάβην· ἔφθαρον ἐφθάρην· ἔσταλον ἐστάλην.

Περὶ μέσου ἀορίστου α.

Ὁ μέσος πρῶτος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ πρώτου προσθέσει μην· οἷον ἔτυψα ἐτυψάμην· ἔγραψα ἐγραψάμην.

Περὶ μέσου ἀορίστου β.

Ἔτι ὁ μέσος ἀόριστος δεύτερος ἀπὸ τοῦ δευτέρου προσθέσει μην· οἷον ἔτυπον ἐτυπόμην· ἔγραφον ἐγραφόμην.

Περὶ μέσου μέλλοντος πρώτου.

Ὁ μέσος μέλλων πρῶτος ἀπὸ τοῦ ἐνεργητικοῦ τροπῇ τοῦ ω εἰς ο μικρὸν καὶ προσθέσει μαι· οἷον τύψω τύψομαι· γράψω γράψομαι.

Περὶ μέσου μέλλοντος δευτέρου.

Ὁ μέσος μέλλων δεύτερος ἀπὸ τοῦ ἐνεργητικοῦ δευτέρου μέλλοντος τροπῇ τοῦ ω εἰς ου καὶ προσθέσει μαι· οἷον τυπῶ τυποῦμαι· ψαλῶ ψαλοῦμαι· σπερῶ σπεροῦμαι. Ἔτι ὁ μετ' ὀλίγον μέλλων ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρακειμένου· οἷον τέτυψαι τετύψομαι· τετύψῃ τετύψεται. Καὶ ἀπὸ τοῦ ἐτύφθη ἀορίστου πρώτου μέλλων πρῶτος τυφθήσομαι τυφθήσῃ τυφθήσεται· καὶ ἀπὸ τοῦ ἐτύπη ἀορίστου δευτέρου, μέλλων δεύτερος τυπήσομαι τυπήσῃ τυπήσεται.

Περὶ τῶν βαρυτόνων συζυγιῶν.

Τούτων οὕτως ἐσχηματισμένων, ῥητέον ἂν εἴη

καὶ περὶ τῶν βαρυτόνων συζυγιῶν· ἃς ἐξ οὔσας
κατὰ τοὺς παλαιοὺς εἰς τέσσαρας ποιοῦσιν, οὐκ
ἂν ἁμάρτοι. Τούτων πρώτη ἐστὶν ἡ πρὸ τοῦ ω
β ἢ π ἢ φ ἢ πτ ἔχουσα· οἷον λείβω· λείπω·
γράφω· κόπτω· ὧν ὁ μέλλων πρὸ τοῦ ω ψ ἔχει·
οἷον λείψω λείψω· γράψω κόψω· ὁ παρακείμε-
νος πρὸ τοῦ α φ· οἷον λέλειφα λέλειφα· γέγρα-
φα κέκοφα.

Δευτέρα.

Δευτέρα ἐστὶν ἡ πρὸ τοῦ ω γ ἢ κ ἢ χ ἢ κτ ἢ ζ ἢ
δύο σσ ἔχουσα· οἷον λέγω· πλέκω· ἔχω· τίκτω·
παίζω· ὀρύσσω· ὧν ὁ μέλλων πρὸ τοῦ ω ξ ἔχει·
οἷον λέξω πλέξω· ἕξω· τέξω· παίξω· ὀρύξω·
ὁ παρακείμενος πρὸ τοῦ α τὸ χ ἔχει· οἷον λέλε-
χα πέπλεχα· εἶχα· τέτεχα· πέπαιχα· ὤρυχα
Δεῖ δὲ εἰδέναι ὅτι ὅσα τῶν εἰς ζω ῥημάτων ποι-
οῦσι τὸν μέλλοντα εἰς ξω τῆς δευτέρας ἔστωσαν
συζυγίας· ὅσα δὲ εἰς σω τῆς τρίτης· διακρίνου-
μεν δὲ αὐτὰ οὕτως. Τὰ εἰς ζω ὑπὲρ δισύλλα-
βα εἰς σ τὸν μέλλοντα ποιοῦσιν· οἷον δανείζω
δανείσω· συρίζω συρίσω· βαδίζω βαδίσω· κου-
φίζω κουφίσω· ἐλπίζω ἐλπίσω· λακτίζω λα-
κτίσω· ἑτοιμάζω ἑτοιμάσω· δεσπόζω δεσπόσω
ἁρμόζω ἁρμόσω· ἁρπάζω ἁρπάσω· χωρὶς τοῦ
οἰμώζω οἰμώξω· στηρίζω στηρίξω· αἰάζω αἰάξω
στενάζω στενάξω· ὀλολύζω ὀλολύξω· ἀλαπάζω

ἀλαπάξω· θρυλλίζω θρυλλίξω. Τὰ δὲ δισύλλαβα ποτὲ μὲν εἰς ξω τὸν μέλλοντα ποιοῦσιν· οἷον παίζω παίξω· καὶ παίσω ἀττικῶς· κράζω κράξω· σφάζω σφάξω· ποτὲ δὲ εἰς σω οἷον κτίζω κτίσω· φράζω φράσω· πρίζω πρίσω· ἵζω ἵσω. Ἔτι τὰ εἰς δύο σσ ἅπερ ἀττικῶς διὰ δύο ττ γράφονται εἰς ξ τὸν μέλλοντα ποιοῦσιν· οἷον ὀρύσσω καὶ ὀρύττω ὀρύξω· νύσσω καὶ νύττω νύξω· πλὴν τῶν σεσημειωμένων· εἰς ἓν σ τὸν μέλλοντα ποιούντων· ἃ τῆς τρίτης ἔστωσαν συζυγίας· οἷον πλάσσω καὶ πλάττω πλάσω· ὅθεν ἔπλασα· ἀόριστος πρῶτος· ἐρέσσω ἐρέσω· ἱμάσσω ἱμάσω· ἰμάσσω ἰμάσω· πάσσω πάσω· λάσσω λάσω· λάσσω λάσω.

Τρίτη.

Τρίτη ἐστὶν ἡ πρὸ τοῦ ω δ ἢ θ ἢ δύο ττ ἢ ζ ἢ δύο σσ ἢ ω καθαρὸν ἔχουσα· οἷον ᾄδω· πλήθω· ἀμύττω· φράζω· πλάσσω· ἀκούω· ὧν ὁ μέλλων πρὸ τοῦ ω τὸ σ ἔχει· οἷον ᾄσω· πλήσω· ἀμύσω· φράσω· πλάσω· ἀκούσω· ὁ παρακείμενος πρὸ τοῦ α κ ἔχει· οἷον ᾖκα· πέπληκα· ἤμυκα· πέφρακα· πέπλακα· ἤκουκα. Καὶ τὰ περισπώμενα δὲ καὶ ἔτι τὰ εἰς μι εἰς κα τὸν παρακείμενον ποιοῦσι.

Σημείωσαι δὲ ὅτι ἀπὸ τοῦ ἀμύω ἐγένετο ἀμύτω· ἔπειτα ἀμύττω ἀττικῶς· καὶ ἀπὸ τοῦ ἀρύω ἀρύ

τῷ καὶ ἀρύττω· ὅθεν καὶ εἰς σω τὰ τοιαῦτα τὸν μέλλοντα ποιοῦσι·

Τετάρτη·

Τετάρτη ἐστὶν ἡ πρὸ τοῦ ω τὰ τέσσαρα ἀμετάβολα· λ μ ν ρ ἔχουσα· οἷον ψάλλω· νέμω· κρίνω· σπείρω· ὧν ὁ μέλλων περισπώμενος, πρὸ τοῦ ω αὐτὸ τὸ ἀμετάβολον φυλάττων, συστέλλει τὴν παραλήγουσαν· ἀμετάβολον ἢ ι τῆς διφθόγγου ἐκβάλλων· οἷον ψαλῶ· νεμῶ· κρινῶ· σπερῶ· ὁ παρακείμενος πρὸ τοῦ α τὸ κ ἔχει· καὶ πρὸ τοῦ κ τὸ ἀμετάβολον· οἷον ἔψαλκα· ἔσπαρκα·

Σημείωσαι δὲ τὸ νενέμηκα· προσλαμβάνον η· νενέμηκα γὰρ ὤφειλεν εἶναι· ἀλλὰ διὰ τὸ κακόφωνον προσετέθη η· οὕτω καὶ τέμω τεμῶ· τετέμηκα· δέμω δεμῶ δεδέμηκα· βρέμω βρεμῶ βεβρέμηκα· Ἔτι σεσημείωνται τὰ εἰς νω δισύλλαβα μὴ φυλάττοντα τὸ ἀμετάβολον οἷον κρίνω κρινῶ κέκρικα· πλύνω πλυνῶ πέπλυκα· ἐν δὲ τῷ μιαίνω μιανῶ μεμίαγκα καὶ μολύνω μολυνῶ μεμόλυγκα· τρέπεται τὸ ν εἰς γ ἑπομένου κ.

Περὶ τῶν περισπωμένων·

Τούτων οὕτως εἰρημένων καὶ περὶ τῶν περισπωμένων λέγωμεν· ὧν τριῶν οὐσῶν, ἡ πρώτη διὰ τοῦ εω προφερομένη, ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η ἢ τὸ ε ἔχει· ὅτε μὲν γὰρ ὁ ἐνεστὼς μακρᾷ παραλήγει, τότε καὶ ὁ μέλλων τῷ η παρα-

λήγει· οἷον ποιῶ ποιήσω· ὁρῶ ὁρήσω· οἰκῶ οἰ
κήσω· τηρῶ τηρήσω· ἀθλῶ ἀθλήσω· ἐξαιρεῖται
τὸ ἀρκῶ ἀρκέσω· νεικῶ νεικέσω· αἰδῶ αἰδέσω
αἰνῶ αἰνέσω· ὅθεν καὶ ἐπαινῶ ἐπαινέσω· παρὰ
δὲ τοῖς παλαιοῖς αἰνήσω καὶ ἐπαινήσω· ὅθεν καὶ
ὅμηρος μῦθον ἐπαινήσαντες ὀδυσσῆος θείοιο· ὅτε
δὲ ὁ ἐνεστὼς βραχεῖα παραλήγει, τότε ὁ μέλλων
ποτὲ μὲν τὸ η ἔχει οἷον φιλῶ φιλήσω· νοῶ νοήσω
ποτὲ δὲ τὸ ε· οἷον τελῶ τελέσω· καλῶ καλέσω·
ὀλῶ ὀλέσω· ἔνιοι δὲ ἀμφότερον ἔχουσιν· οἷον φο
ρῶ φορήσω καὶ φορέσω· πονῶ πονήσω καὶ πο-
νέσω· φρονῶ φρονήσω καὶ φρονέσω· τὴν δὲ πα-
ραλήγουσαν τοῦ μέλλοντος φυλάττει ὁ παρακεί-
μενος καὶ ὑπερσυντέλικος καὶ ἀόριστος· ἐν πάσῃ
συζυγίᾳ περισπωμένῃ. Δευτέρα.

Ἡ δευτέρα διὰ τοῦ αω προφερομένη, ποτὲ μὲν
τὸ α ποτὲ δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ μέλ-
λοντος ἔχει οὕτω. Τὰ εἰς ω καθαρὸν προηγου-
μένου ε ἢ ϊ διὰ τοῦ ασω τὸν μέλλοντα ποιοῦσιν
οἷον ἐῶ ἐάσω· θεῶ θεάσω· ἁγιῶ ἁγιάσω· ἐρυθρι-
ῶ ἐρυθριάσω· ἀλλοιῶ δὲ ἀλλοιήσω ἰωνικόν·

Ἔτι τὰ παραληγόμενα τῷ ο· οἷον ἀκροῶ ἀκρο
άσω· ἐξαιρεῖται τὸ βοῶ βοήσω· γοῶ γοήσω· ἀ-
λοῶ ἀλοήσω καὶ ἀλοάσω. Ἔτι τὰ εἰς ρω ὑπὲρ
μονοσύλλαβα μὴ προηγουμένου συμφώνου, οἷον

περῶ περάσω· φυρῶ φυράσω· γηρῶ γηράσω· ξυ-
ρῶ δὲ ξυρήσω. ἔπειτα εἰς λω ὑπὲρ μονοσύλλα-
βα τῷ ε παραληγόμενα· οἷον γελῶ γελάσω· ἐ-
λῶ ἐλάσω. ἔπειτα εἰς ρω καὶ λω μονοσύλλα-
βα μὴ ποιοῦντα παράγωγα εἰς μι· οἷον δρῶ δρά-
σω· κλῶ κλάσω· φλῶ φλάσω· θλῶ θλάσω.
Τὰ δὲ παραληγόμενα τῷ υ διὰ τοῦ ησω τὸν μέλ-
λοντα ποιοῦσιν· οἷον ἐγγυῶ ἐγγυήσω· λυῶ λυή-
σω· δυῶ δυήσω. ἔπειτα εἰς λω μόνον ἢ μετὰ
συμφώνου κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν·
οἷον συλῶ συλήσω· κραιπαλῶ κραιπαλήσω·
χολῶ χολήσω· μελαγχολῶ μελαγχολήσω· ἀσ-
χολῶ ἀσχολήσω· ὁμοκλῶ ὁμοκλήσω· ποδα-
γρῶ ποδαγρήσω· ἐξῄρηται τὸ χαλῶ χαλάσω·
ἱλῶ ἱλάσω. ἔπειτα εἰς ρω καὶ λω παράγωγα
εἰς μι ποιοῦντα· οἷον χρῶ χρῆμι χρήσω· πρῶ
πρῆμι πρήσω· πλῶ πίπλημι πλήσω· τλῶ·
τλῆμι τλήσω. ἔπειτα εἰς ἄλλο σύμφωνον λή-
γοντα· οἷον σμῶ σμήσω· κνῶ κνήσω· ζῶ ζήσω·
νικῶ νικήσω· κυβερνῶ κυβερνήσω· τιμῶ τιμή-
σω· ἡβῶ ἡβήσω· τρυφῶ τρυφήσω· τρυγῶ τρυ-
γήσω· διψῶ διψήσω· σιγῶ σιγήσω· σιωπῶ σι-
ωπήσω· σπῶ σπήσω τὸ ἀκολουθῶ· σπῶ δὲ σπά-
σω τὸ ἀνασπῶ.

Τρίτη.

Τρίτη ἐστὶν ἡ διὰ τοῦ σω προφερομένη ἐν τῇ πα-

ραληγούσῃ τοῦ μέλλοντος τὸ ω μέγα ἢ ο μικρὸν
ἔχει· ὅσα μὲν οὖν τῶν ῥημάτων ἔχουσι προεπι-
κείμενον ῥηματικὸν, τῷ ω μεγάλῳ παραλήγου
σιν ἐν τῷ μέλλοντι· οἷον χρυσὸς χρυσῶ χρυσώσω
ἄργυρος ἀργυρῶ ἀργυρώσω· γύψος γυψῶ γυψώ
σω· χεὶρ χειρῶ χειρώσω· πῦρ πυρῶ πυρώσω·
στέφανος στεφανῶ στεφανώσω· ὀρθὸς ὀρθῶ ὀρθώ-
σω· στρεβλὸς στρεβλῶ στρεβλώσω· κακὸς κα-
κῶ κακώσω· ταπεινὸς ταπεινῶ ταπεινώσω·
Ὅσα δὲ οὐκ ἔχουσι παραλήγουσι τῷ ο μικρῷ· οἷ
ον ὀμῶ ὀμόσω· ἀρῶ ἀρόσω· ὀνῶ ὀνόσω·
Τούτων οὕτως εἰρημένων τέσσαρες εἰσὶ καὶ αἱ τῶν
εἰς μι ὧν ἡ πρώτη τὸ η ἔχει ἐν τῇ παραληγούσῃ
τοῦ ἐνεργητικοῦ ἐνεστῶτος καὶ μέλλοντος καὶ ἀο
ρίστου· οἷον τίθημι θήσω ἔθηκα· τὸ δὲ τέθεικα καὶ
ἐτεθείκειν διὰ ει διφθόγγου γράφεται ἔθει βοιωτι-
κῷ· Καὶ ἡ δευτέρα δὲ τὸ η ἔχει· οἷον ἵστημι στή
σω ἔστησα· ἕστακα δὲ ὁ παρακείμενος καὶ οὐχ ἕ-
στηκα εἰς διαφορὰν τοῦ ἔστηκα ἀπὸ τοῦ ἑστήκω γι-
νομένου· καὶ ἔτι ὁ ὑπερσυντέλικος ἑστάκειν· Ἡ δὲ
τρίτη τὸ ω μέγα· οἷον δίδωμι δώσω δέδωκα
ἐδεδώκειν ἔδωκα· Ἡ δὲ τετάρτη τὸ υ ψιλὸν οἷ
ον ζάγνυμι· Σημειώσῃ δὲ ἐν τούτοις δύο· ἓν
μὲν ὅτι ἐν τῷ μέλλοντι ἡ πρώτη συλλαβὴ τοῦ ἐνε
στῶτος ἀφαιρεῖται· οἷον τίθημι θήσω· ἵστημι στήσω

δίδωμι δώσω. ἕτερον δὲ ὅτι ἐν τοῖς παθητι-
κοῖς συστέλλεται ἡ παραλήγουσα οἷον τίθημι τίθε-
μαι. ἵστημι ἵσταμαι. δίδωμι δίδομαι. ζεύγνυμι
ζεύγνυμαι. Ἀλλὰ περὶ μὲν τούτων ὡς οἷόν τε ἦν
ἡμῖν συντόμως καὶ ὠφελίμως τοῖς εἰσαγωγικοῖς
εἴρηται. ἐν δὲ τῷ περὶ ῥήματος δευτέρῳ βιβλίῳ
διεξοδικώτατα ῥηθήσεται.

Περὶ τῶν ῥημάτων τῶν μέχρι παρατατικοῦ
κλινομένων.

Τὰ διὰ τοῦ ανω ῥήματα βαρύτονα μέχρι τοῦ
παρατατικοῦ κλίνονται. οἷον λαμβάνω ἐλάμ-
βανον. μανθάνω ἐμάνθανον. λανθάνω ἐλάνθα-
νον. Ἔτι τὰ διὰ τοῦ αθω καὶ εθω καὶ υθω. οἷον
ἀμυνάθω ἠμύναθον. φλεγέθω ἐφλέγεθον. μινύθω
ἐμίνυθον. Ἔτι τὰ εἰς βω ἔχοντα πρὸ τοῦ β
σύμφωνον ἢ ε. οἷον ῥέμβω ἔρεμβον. σέβω ἔσεβον.
Ἔτι τὰ εἰς σκω οἷον ἀρέσκω ἤρεσκον. πιπρά-
σκω ἐπίπρασκον. χωρὶς τοῦ θνήσκω θνήξω. καὶ
ἀλύσκω ἀλύξω. τὸ δὲ διδάξω οὐκ ἀπὸ τοῦ δι-
δάσκω ἀλλ' ἀπὸ τοῦ διδάχω. Ἔτι τὰ διὰ τοῦ
εινω ὑπὲρ δισύλλαβα οἷον ἐρεείνω ἠρέεινον. φαείνω
ἐφάεινον. Ἔτι τὰ διὰ τοῦ εθω παράγωγα ἀπὸ
ἐνεστῶτος ἢ μέλλοντος οἷον ἀπὸ τοῦ κίχω κιχέθω
ἐκίχεθον. τελῶ τελέθω ἐτέλεθον. ἀπὸ τοῦ βρώσω
βρωσέθω ἐβρώσεθον. πολεμήσω πολεμησέθω. οὕτω

ὀγάω. ἔτι τὰ διὰ τοῦ νω ὑπὲρ δισύλλαβα ποιοῦντα εἰς μι παράγωγα. καὶ ἔτι τὰ ἀπ' αὐτῶν παραγόμενα. οἷον πηγνύω πήγνυμι. ὀμνύω ὄμνυμι. ὀλύω ὄλυμι. ἔτι πάντα τὰ τῆς πέμπτης συζυγίας κατὰ παλαιοὺς τὴν πρώτην συλλαβὴν διπλασιαζομένην ἔχοντα. οἷον μαρμαίρω ἐμάρμαιρον. μορμύρω ἐμόρμυρον. ἔτι τὰ πρὸ τοῦ ω δύο σύμφωνα ἔχοντα κατ' ἐπιπλοκήν. ὧν τὸ δ' ἕτερον ἀμετάβολον εἴη. οἷον μέμβλω. ὄφλω. ἔγρω. δάκνω. ἔτι τὰ εἰς ω καθαρὸν τῇ υι διφθόγγῳ παραληγόμενα. οἷον ὀπυίω ἀγυίω. ἔτι τὰ εἰς δω πρὸ τοῦ δ ν ἔχοντα. οἷον κυλίνδω σπένδω.

ΠΕΡΙ ἈΝΤΩΝΥΜΙΩΝ.

Ἀντωνυμία ἐστὶ μέρος λόγου κλιτὸν ἀντὶ ὀνόματος παραλαμβανόμενον. Ταύτης δὲ ἡ μέν, πρωτότυπος. ἡ δέ, κτητική. ἡ δέ, δεικτική. ἡ δέ, ἀναφορική. ἡ δέ, σύνθετος. Παρέπονται δὲ αὐτῇ τέσσαρα. γένος. ἀριθμός. πτῶσις. πρόσωπον.

Περὶ πρωτοτύπων. Τοῦ πρώτου προσώπου.

Ἐγώ. ἐμοῦ. ἐμοί. ἐμέ / νώ. νῷν / ἡμεῖς. ἡμῶν. ἡμῖν. ἡμᾶς. Τοῦ δευτέρου προσώπου.

Σύ. σοῦ. σοί. σέ / σφώ. σφῷν / ὑμεῖς. ὑμῶν. ὑμῖν. ὑμᾶς. Τοῦ τρίτου προσώπου.

Ὅς · οὗ · οἷ · ἕ / σφὲ · σφῖν / σφεῖς · σφῶν · σφίσι · σφᾶς ·

Περὶ κτητικῶν ·

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ὀκτὼ · ἐμὸς · σὸς · ἑὸς · νωΐτερος · σφωΐτερος · ἡμέτερος · ὑμέτερος · σφέτερος · αἳ τριγενῶς κλίνονται · ἐμὸς · ἐμὴ · ἐμὸν · σὸς · σὴ · σὸν · καὶ αἱ μὲν ἀρσενικαὶ καὶ οὐδέτεραι κατὰ τὴν τετάρτην κλίνονται κλίσιν · αἱ δὲ θηλυκαὶ κατὰ τὴν δευτέραν ·

Περὶ δεικτικῶν ·

Δεικτικαὶ δὲ δύο · οὗτος · ἐκεῖνος · τριγενῶς καὶ αὗται κλινόμεναι οὕτως ·

Οὗτος · τούτου · τούτῳ · τοῦτον · ὦ οὗτος / τούτω τούτοιν · ὦ τούτω / οὗτοι · τούτων · τούτοις · τούτους · ὦ οὗτοι ·

Αὕτη · ταύτης · ταύτῃ · ταύτην · ὦ αὕτη / ταύτα · ταύταιν · ὦ ταύτα / αὗται · τούτων · ταύταις · ταύτας · ὦ αὗται ·

Τοῦτο · τούτου · τούτῳ · τοῦτο · ὦ τοῦτο / τούτω τούτοιν · ὦ τούτω / ταῦτα · τούτων · τούτοις · ταῦτα · ὦ ταῦτα ·

Ἐκεῖνος · ἐκείνου · Ἐκείνη · ἐκείνης · Ἐκεῖνο · ἐκείνου ·

Περὶ ἀναφορικῆς ·

Ἀναφορικὴ δὲ μία τριγενῶς κλινομένη ὧδε ·

Αὐτὸς · αὐτοῦ · αὐτῷ · αὐτὸν / αὐτὼ · αὐτοῖν / αὐτοὶ αὐτῶν · αὐτοῖς · αὐτοὺς · Αὐτὴ · αὐτῆς · αὐτῇ · αὐτὴν

αὐτά. αὐτάων/ αὐταὶ. αὐτῶν. αὐταῖς. αὐτάς. Αὐ-
τό. αὐτοῦ. αὐτῷ. αὐτό. αὐτώ. αὐτοῖν/ αὐτά. αὐ-
τῶν. αὐτοῖς. αὐτά. Ἴδιον δὲ ταύτης καὶ τρίτου προ-
σώπου σημασία. αὐτὸς γὰρ ἀντὶ ἐγώ. σύ. ἐκεῖνος

Περὶ συνθέτων.

Σύνθετοι δὲ τρεῖς ὀνομαστικὰς οὐκ ἔχουσαι.

Τοῦ πρώτου προσώπου.

Ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτόν. Ἐμαυτῆς. ἐμαυτῇ
ἐμαυτήν. Ἐμαυτοῦ. ἐμαυτῷ. ἐμαυτό.

Τοῦ δευτέρου προσώπου.

Σαυτοῦ. σαυτῷ. σαυτόν. Σαυτῆς. σαυτῇ. σαυτήν
Σαυτοῦ. σαυτῷ. σαυτό. Καὶ αἱ μὲν τοῦ πρώτου
καὶ δευτέρου προσώπου μέχρι τούτου μόνον κλί-
νονται. αἱ δὲ τοῦ τρίτου καὶ πληθυντικῶς συνθέ-
τως τέ ἅμα καὶ διῃρημένως ὧδε. Τοῦ τρίτου.
Ἑαυτοῦ. ἑαυτῷ. ἑαυτόν/ ἑαυτῆς. ἑαυτῇ. ἑαυτήν.
Ἑαυτοῦ. ἑαυτῷ. ἑαυτό. Ἑαυτῶν καὶ σφῶν αὐτῶν
ἑαυτοῖς καὶ σφίσιν αὐτοῖς/ ἑαυτοὺς καὶ σφᾶς αὐ-
τούς.

Περὶ προθέσεων.

Πρόθεσίς ἐστι μέρος λόγου ἄκλιτον προτιθέμενον
πάντων τῶν τοῦ λόγου μερῶν καὶ ἐν τῇ συνθέσει
καὶ συντάξει. Τῶν δὴ προθέσεων ὀκτὼ καὶ δέ-
κα οὐσῶν, ἓξ εἰσὶ μονοσύλλαβοι. ἐν. εἰς. ἐξ.
σύν. πρός. πρό. δύο δὲ καὶ δέκα δισύλλαβοι
ἀνά. κατά. διά. μετά. παρά. ἀντί. ἐπί. περί

ἀμφὶ· ἀπὸ· ὑπὸ· ὑπὲρ· ἀλλὰ περὶ μὲν τῆς τού
των συντάξεως ἐν τῷ τέλει τῆς ἐπιτομῆς ἐροῦμεν

Περὶ ἐπιρρημάτων.

Ἐπίρρημα ἐστὶ μέρος λόγου ἄκλιτον κατὰ ῥήμα
τος λεγόμενον ἢ ἐπιλεγόμενον. Τούτου δὲ τὰ
μὲν, καλοῦνται χρόνου· οἷον νῦν· τότε· αὖθις· τό
φρα· τέως· ἕως· πηνίκα· ἡνίκα· ἔπειτα μετέ
πειτα· σήμερον· αὔριον· χθὲς ὃ καὶ ἐχθὲς λέγεται
πάλαι· ἀεί. Τὰ δὲ, τόπου· οἷον ἄνω· κάτω·
ἔξω· εἴσω· ἔνδον· ἐγγὺς· πόῤῥω· ἐναντίον· χα-
μαὶ· ἔνθα· ὅθεν· ἐπέκεινα· μακρὰν. Τὰ δὲ,
ποιότητος· οἷον εὖ· καλῶς· ἡδέως· σοφῶς· κυ
νηδὸν· βοτρυδὸν· ἀγεληδὸν. Τούτων δὲ ὅσα γί
νονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, καὶ μεσότη
τος προσαγορεύονται· οἷον σοφῶς ἀπὸ τῶν σο-
φῶν· καλῶς ἀπὸ τῶν καλῶν. Τὰ δὲ, ποσό-
τητος· οἷον ἅπαξ· δὶς· τρὶς· τετράκις· πολλά
κις· ὀλιγάκις. Τὰ δὲ, ἀθροίσεως· οἷον ἅμα·
ὁμοῦ· συλλήβδην· ἀθρόως. Τὰ δὲ παρακελεύ
σεως· οἷον εἶα· ἄγε· φέρε· δεῦτε. Τὰ δὲ, διαι
ρέσεως· οἷον ἄνευ· χωρὶς· δίχη. Τὰ δὲ, ἐξαι
ρέσεως· οἷον πλὴν. Τὰ δὲ, τάξεως οἷον ἑξῆς·
ἐφεξῆς. Τὰ δὲ, ὁμοιώσεως· οἷον ὡς· ὥσπερ·
καθὰ· καθάπερ. Τὰ δὲ, ἀποστάσεως· οἷον ὦτε
Τὰ δὲ, συγκρίσεως· οἷον μᾶλλον ἧττον.

Τὰ δὲ ἐπιτάσεως· οἷον λίαν· ἄγαν· πάνυ· μάλιστα· σφόδρα. Τὰ δὲ ἀνεχέσεως οἷον ἠρέμα ἡσυχῆ. Τὰ δὲ βεβαιώσεως· οἷον δηλαδή· δήπουθεν· πάντως· οὕτως· ἦ. Τὰ δὲ καταφάσεως· οἷον ναί. Τὰ δὲ κατομώσεως· οἷον νή· μά. Τὰ δὲ ἀπομώσεως· οἷον μά. Τὰ δὲ ἀρνήσεως· οἷον οὐ· οὐδαμῶς· ἥκιστα. Τὰ δὲ ἀπαγοράσεως· οἷον μή· μηδαμῶς. Τὰ δὲ εἰκασμοῦ· οἷον ἴσως· τάχα· τυχόν. Τὰ δὲ ἐρωτήσεως· οἷον πόθεν· ποῦ· πηνίκα· πῶς. Τὰ δὲ δείξεως· οἷον ἰδού· ἠνί. Τὰ δὲ κλήσεως· οἷον ὦ. Τὰ δὲ διασαφήσεως· οἷον οἷον. Τὰ δὲ θέσεως· οἷον ἀναγνωστέον· πλαστέον· γραπτέον· ἰστέον. Τὰ δὲ σχετλιασμοῦ· οἷον ὤ· ἰού· οἴμοι· φεῦ. Τὰ δὲ θαυμασμοῦ· οἷον φεῦ βαβαί. Τὰ δὲ ἐκπλήξεως· οἷον ἆ. Τὰ δὲ θειασμοῦ· οἷον εὐοῖ· εὐάν. Παρέπεται δὲ αὐτῷ εἶδος καὶ σχῆμα. Τὸ μὲν γὰρ πρωτότυπον οἷον νῦν. Τὸ δὲ· παράγωγον οἷον νυνί. Καὶ τὸ μὲν ἁπλοῦν οἷον πάλαι. Τὸ δὲ σύνθετον οἷον πρόπαλαι.

Περὶ συνδέσμων.

Σύνδεσμός ἐστι μέρος λόγου ἄκλιτον συνδέον τὰ ἄλλα μέρη τοῦ λόγου εἰς διάνοιαν μετὰ τάξεως. Τούτου δὲ οἱ μέν, συμπλεκτικοί· οἷον μέν· δέ· τέ· καί· ἀλλά· ἀτάρ· οἱ δέ, διαζευκτικοὶ οἷον ἤ

ἤτοι· Οἱ δὲ συναπτικοί· οἷον εἰ· εἴπερ· εἰδή-
εἰδήπερ· Οἱ δὲ παρασυναπτικοί· οἷον ἐπεί· ἐ-
πείπερ· ἐπειδή· ἐπειδήπερ· Οἱ δὲ αἰτιολογικοί
οἷον ἵνα· ὄφρα· ὅπως· ἕνεκα· οὕνεκα· γάρ· ὅ-
τι· διότι· Οἱ δὲ ἀπορηματικοί· οἷον ἆρα
εἶτα· μῶν· μή· Οἱ δὲ συλλογιστικοί· οἷον ἄρα
ἀλλά· ἀλλαμήν· οὖν· τοίνυν· τοιγάρτοι· τοιγα-
ροῦν· Οἱ δὲ παραπληρωματικοί· οἷον δή· που
τοι· δῆτα· πέρ· πω· μήν· αὖ· οὖν· γε· Οἱ δὲ
δυνητικοί· οἷον ἄν· Οἱ δὲ διακριτικοί· ἤγουν
ἐπιλεκτικοί· οἷον γοῦν· γε· Οἱ δὲ ἐναντιωμα-
τικοί· οἷον ὅμως· καίτοι· καίπερ· ἔμπης·
Παρέπεται δὲ αὐτῷ σχήματα· ὁ μὲν γὰρ ἁπλοῦς,
οἷον ἐπεί· ὁ δὲ σύνθετος οἷον ἐπειδή· Τούτων
οὕτως ἐγνωσμένων, ἑπόμενον ἂν εἴη καὶ περὶ ἄλ-
λων τινῶν ἀναγκαίων εἰπεῖν· Καὶ πρῶτον περὶ
τῶν εἰδῶν τῶν παραγώγων·

Περὶ τῶν εἰδῶν τῶν παραγώγων·

Εἴδη τῶν παραγώγων ἑπτά· Πατρωνυμικόν·
Κτητικόν· Συγκριτικόν· Ὑπερθετικόν· Ὑποκο-
ριστικόν· Παρώνυμον· Καὶ ῥηματικόν·

Περὶ πατρωνυμικοῦ·

Πατρωνυμικόν ὄνομα κυρίως ἐστὶ τὸ ἀπὸ πα-
τρὸς ἐσχηματισμένον υἱὸν πατρὸς σημαῖνον· οἷον
ἀπὸ τοῦ πηλεύς πηλέως πηλείδης ὁ ἀχιλλεύς·

καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου λέγεται.
οἷον αἰακὸς αἰακοῦ αἰακίδης ὁ αὐτός. τούτου δὲ
τὰ μὲν ἀρσενικὰ τὰ δὲ θηλυκά. καὶ τῶν μὲν ἀρσε-
νικῶν τρεῖς καταλήξεις εἰσί. δης κοινή. οἷον πη-
λείδης. ων ἰωνική οἷον πηλείων. αδιος οἷον ὑρ-
ράδιος. Ὅτε δὲ ἡ γενικὴ τοῦ ὀνόματος λήγει εἰς
ως ἢ εἰς ους ἢ εἰς ος, τότε εἰς ιδης κοινῶς σχη-
ματίζεται τὸ πατρωνυμικόν οἷον πηλεὺς πηλέως
πηλεΐδης. καὶ κατὰ συναίρεσιν πηλείδης. δημο-
σθένης δημοσθένους δημοσθενίδης. ἀγαμέμνων
ἀγαμέμνονος ἀγαμεμνονίδης. Ἔτι εἰ ἡ γενικὴ
λήγει εἰς ου τῆς τετάρτης κλίσεως οὖσα, μὴ πα-
ραληγομένη τῷ ι, εἰς ιδης σχηματίζεται τὸ πα-
τρωνυμικόν οἷον πρίαμος πριάμου πριαμίδης
τάνταλος ταντάλου ταντταλίδης. εἰ δὲ αὐτὴ πα-
ραλήγει τῷ ι εἰς αδης σχηματίζεται τὸ πατρω-
νυμικόν. οἷον ἥλιος ἡλίου ἡλιάδης. Ἔτι τὰ
τῆς πρώτης κλίσεως εἰς αδης σχηματίζονται. οἷ-
ον αἰνείας αἰνείου αἰνειάδης. ἱππότης ἱππότου ἱ-
ποτάδης. Πᾶν δὲ πατρωνυμικὸν παραλήγει
ἢ ι οἷον κρονίδης. ἢ ει διφθόγγῳ οἷον πηλείδης
κατὰ συναίρεσιν. ἢ α οἷον αἰνειάδης. ἢ οι διφθό-
γγῳ κατὰ συναίρεσιν. οἷον πανθοΐδης πανθοίδης
Τῶν δὲ θηλυκῶν τρεῖς καταλήξεις εἰσίν. ας. ις
νη. καὶ αἱ μὲν εἰς ας καὶ ις ἀπὸ τῶν ἰδίων ἀρ-

σενικῶν σχηματίζονται ἀποβολῇ τοῦ δη· οἷον ἡ-
λιὰς ἀπὸ ἡλιάδης· πριαμὶς ἀπὸ πριαμίδης·
ἡ δὲ εἰς ν αἰολικὴ οὖσα, ἀπὸ τῆς γενικῆς σχημα-
τίζεται· οἷον ἀδραστίνη ἀπὸ τοῦ ἀδράστου· ἀκρι-
σιώνη ἀπὸ τοῦ ἀκρισίωνος· Περὶ κτητικοῦ·
Κτητικὸν ὄνομά ἐστι τὸ κτῆσιν τινὸς πράγματος
δηλοῦν· Καταλήξεις δὲ αὐτοῦ δύο· κος οἷον
μουσικός· α οἷον κυπριακός· υ οἷον θηλυκός·
καὶ ειος οἷον ἀχίλλειος· οὗ παραλήξεις ἕξ· ι οἷ-
ον λόγιος· ε οἷον ἑκτόρεος· ει οἷον ἡράκλειος· αι
οἷον ῥωμαῖος· οι οἷον ἀλλοῖος· ῳ οἷον πατρῷος

Περὶ συγκριτικοῦ·

Συγκριτικὸν ὄνομά ἐστι δι᾽ οὗ σύγκρισις γίνεται
πρὸς ὁμοφυεῖς καὶ ἑτεροφυεῖς· Καταλήξεις δὲ αὐ-
τοῦ δύο· ων ἀνώμαλος· οἷον μείζων βελτίων·
καὶ τερος κοινὸς οἷον πλουσιώτερος· φρονιμώτε-
ρος· σχηματίζεται δὲ ἀπὸ τῶν τριγενῶν ὀνομά-
των ὅσα τὴν τοῦ μᾶλλον ἐπίτασιν ἀναδέχονται
Ἀπὸ δὲ τῶν ληγόντων εἰς ος ἐκβολῇ τοῦ σ καὶ
προσθέσει τοῦ τερος σχηματίζονται· οἷον πρᾷος
πρᾳότερος· παλαιὸς παλαιότερος· ὠφέλιμος
ὠφελιμώτερος· φρόνιμος φρονιμώτερος· Ἔτι
ἀπὸ τοῦ οὐδετέρου τῶν εἰς ης διγενῶν· οἷον ἀλη-
θὲς ἀληθέστερος· ἀκριβὲς ἀκριβέστερος· ἀτυχὲς
ἀτυχέστερος· Ἔτι ἀπὸ τῶν εἰς ων καὶ εις εις·

Καὶ εἰς ους· οἷον σώφρων σώφρονος σωφρονέστερος
χαρίεις χαρίεντος χαριέστερος· εὔνους εὐνούστε-
ρος· καὶ ἀπὸ μετοχῆς οἷον ἐρρωμενέστερος· Ἔτι
ἀπὸ τῶν εἰς υς μὴ φυλαττομένου τοῦ σ· οἷον ἡ
δὺς ἡδύτερος· ὀξὺς ὀξύτερος· βαρὺς βαρύτερος
καὶ τὰ ἀπὸ ῥημάτων γινόμενα· οἷον φέρτερος καὶ
βέλτερος· καὶ τὰ ἀπὸ προθέσεων καὶ ἐπιρρημά
των οἷον ὑπέρτερος ἐγγύτερος· Συντάσσονται δὲ
γενικῇ οἷον ὁ ἀχιλλεὺς ἦν ἀνδρειότερος αἴαντος·
καὶ ὁ αὐτὸς ἦν ἰσχυρότερος τῶν τρώων· καὶ τῇ δοτι
κῇ ὑπερβολὴν σημαίνουσιν· οἷον ὁ κροῖσος ἦν
πλουσιώτερος κύρου ἑκατὸν ταλάντοις·

Περὶ ὑπερθετικοῦ·

Ὑπερθετικὸν ὄνομα ἐστὶ δι' οὗ ὑπέρθεσις γίνεται·
Καταλήξεις δὲ αὐτοῦ δύο· τατος· τοῦ εἰς τερος·
συγκριτικοῦ ἀπὸ τοῦ αὐτοῦ σχηματιζομένη· οἷον
πρᾶος πρᾳότερος πρᾳότατος· φρόνιμος φρο-
νιμώτερος φρονιμώτατος· ἀκριβὲς ἀκριβέστερος
ἀκριβέστατος· χαριέστατος· εὐνούστατος· ὑπέρ-
τατος· ὀξύτατος· Καὶ εἰς στος τοῦ εἰς ων συγ-
κριτικοῦ ἀνώμαλος· οἷον καλὸς καλλίων κά-
λλιστος· Κακὸς κακίων ἢ χείρων κάκιστος·
Μέγας μείζων μέγιστος· Ἀγαθὸς βελτίων ἀρεί
ων κρείττων ἀμείνων· βέλτιστος· ἄριστος· κράτι
στος· Πολὺς πλείων πλεῖστος· Ἡδὺς ἡδίων·

ἥδιστος. Ταχὺς ταχίων τάχιστος. Μικρὸς μείων καὶ ἥττων ἐλάττων ἐλάχιστος. ἐχθρὸς ἐχθίων ἔχθιστος. Αἰσχρὸς αἰσχίων αἴσχιστος. Ῥαδίως ῥάων ῥᾷστος. καὶ ὁ φίλος φίλτερος φίλτατος. συντάσσονται δὲ τὰ ὑπερθετικὰ γενικῇ. οἷον ὁ Ὅμηρος ἐγένετο σοφώτατος πάντων τῶν ποιητῶν.

Περὶ ὑποκοριστικοῦ.

Ὑποκοριστικὸν ὄνομά ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου δηλοῦν. Τούτου δὲ τὰ μὲν ἀρσενικά. τὰ δὲ θηλυκά. τὰ δὲ οὐδέτερα. ἀπὸ κυρίων καὶ προσηγορικῶν παραγόμενα. Καὶ τῶν μὲν ἀρσενικῶν καταλήξεις εἰσὶ πέντε. ας οἷον μνᾶς. ων οἷον μωρίων. αξ οἷον λίθαξ. σκος οἷον ἀνθρωπίσκος. λος οἷον ναυτίλος. Τῶν δὲ θηλυκῶν δύο. ις οἷον θεραπαινίς. καὶ σκη οἷον παιδίσκη. Τῶν δὲ οὐδετέρων παραλήξεις ὀκτὼ εἰς ον ληγόντων. νι οἷον ὀτώνιον. κι οἷον μειράκιον. δρι οἷον λογύδριον. λλι οἷον μειρακύλλιον. φι οἷον ζωύφιον. χνι οἷον πολίχνιον.

Περὶ παρωνύμου.

Παρώνυμον ὄνομά ἐστι τὸ ἀπὸ ὀνόματος παραγόμενον. οἷον θέων ἀπὸ τοῦ θεός. τρύφων ἀπὸ τῆς τρυφῆς. πλάτων ἀπὸ τοῦ πλατύς.

Περὶ ῥηματικοῦ.

Ῥηματικὸν ὁμοίως τὸ ἀπὸ ῥήματος παραγόμενον. οἷον νοήμων ἀπὸ τοῦ νενόημαι. καὶ φιλήμων

ἀπὸ τοῦ πεφίλημαι.

Περὶ τῶν ὑποπεπτωκότων εἰδῶν τῷ ὀνόματι.

Ἔτι τῶν ὀνομάτων τὰ μὲν, κύρια καλοῦνται· οἷ-
ον σωκράτης πλάτων. Τὰ δὲ προσηγορικὰ·
οἷον ὁ καὶ ἡ ἄνθρωπος· παρθένος. Τὰ δὲ ἐπίθε-
τα· οἷον ἀνδρεῖος σοφός. Τὰ δὲ πρός τι· οἷον
πατὴρ υἱὸς δοῦλος δεσπότης. Τὰ δὲ ὡς πρός
τι· οἷον νὺξ· ἡμέρα· θάνατος· ζωή. Τὰ δὲ ἐθνι-
κὰ· οἷον φρὺξ· πέρσης. Τὰ δὲ ἐρωτηματικὰ·
οἷον τίς· ποῖος· πόσος· πηλίκος. Τὰ δὲ ἀό-
ριστα οἷον ὅστις· ὁποῖος· ὁπόσος. Τὰ δὲ περι-
ληπτικὰ· οἷον δῆμος· χορὸς· ὄχλος. Τὰ δὲ ἐ-
πιμεριζόμενα· οἷον ἕτερος· ἑκάτερος· ἕκαστος·
ἄλλος. Μερίζονται δὲ τετραχῶς· εἷς ἐκ δύο ὡς
ἕτερος· δύο καθ' ἕνα ὡς ἑκάτερος· εἷς ἐκ πολ-
λῶν ὡς ἄλλος καὶ πολλοὶ καθ' ἕνα ὡς ἕκαστος.
Τὰ δὲ περιεκτικὰ· οἷον δαφνὼν κοιτών. Τὰ
δὲ ὡς περιεκτικὰ· οἷον ἀπατεὼν κυκεών. Τὰ
δὲ πεποιημένα οἷον φλοῖσβος ῥοῖζος. Τὰ δὲ
γενικὰ· οἷον ζῷον· φυτόν. Τὰ δὲ εἰδικὰ· οἷον
βοῦς· ἵππος. Τὰ δὲ τακτικὰ· οἷον πρῶτος
δεύτερος. Τὰ δὲ ἀριθμητικὰ· οἷον εἷς· δύο·
τρεῖς. Τὰ δὲ ἀπολελυμένα· οἷον θεὸς· λόγος
ἄγγελος. Τὰ δὲ μετουσιαστικὰ· οἷον πύρινος·
λίθινος. Τὰ δὲ ὁμώνυμα· οἷον αἴας ὁ τοῦ τελα-

μῶνος· καὶ αἴας ὁ τοῦ οἰλέως. Τὰ δὲ συνώνυμα
ἤτε πολυώνυμα· οἷον ἄορ· ξίφος· σπάθη· μά-
χαιρα· φάσγανον. Τὰ δὲ φερώνυμα· οἷον μεγα-
πένθης. Τὰ δὲ διώνυμα· οἷον ἀλέξανδρος ὁ καὶ
πάρις· σκάμανδρος ὁ καὶ ξάνθος. Τὰ δὲ ἐπώ-
νυμα· οἷον ἐννοσίχθων ὁ ποσειδῶν· καὶ φοῖβος ἀ-
πόλλων.

Περὶ προσῳδιῶν.

Προσῳδία ἐστὶ τάσις ἐγγραμμάτου φωνῆς· ἢ τό-
νος πρὸς ὃν ᾄδομεν. Εἰσὶ δὲ προσῳδίαι δέκα
ὡς εἴρηται καὶ διαιροῦνται εἰς τέσσαρα· εἰς τόνους
εἰς χρόνους· εἰς πνεύματα· καὶ εἰς πάθη. Τό-
νοι εἰσὶ τρεῖς· ὀξεῖα· βαρεῖα· καὶ περισπωμένη·
οἷς χρώμεθα ἐπὶ ταῖς λέξεσι· πᾶσα γὰρ λέξις ἐ-
πιδέχεται τόνον ἕνα· ἢ ἐν τῇ ληγούσῃ ἢ παραλη-
γούσῃ ἢ προπαραληγούσῃ· ἐν μὲν τῇ ληγούσῃ ἐπι-
δέχεται ὀξεῖαν βαρεῖαν καὶ περισπωμένην· ὀξεῖαν
ὅταν τὸ δεχόμενον ᾖ ἀσυναίρετον· οἷον θεατής· ἀ-
γαθός. Βαρεῖαν δὲ ὁμοίως ὡς ἐλαιὼν δαφνὼν·
καὶ μάλιστα ἐν τῇ συνεπείᾳ· πᾶσα γὰρ ὀνομαστι-
κὴ καὶ αἰτιατικὴ ἀσυναίρετος καθ᾽ ἑαυτὴν ὀξύνεται
ἐν δὲ τῇ συνεπείᾳ ἀντὶ τῆς ὀξείας βαρεῖαν ἐπιδέ-
χεται· περισπωμένην δὲ ὅταν τὸ δεχόμενον ᾖ μα-
κρὸν ἀπὸ συναιρέσεως· οἷον ἀπὸ τοῦ φάος φῶν·
καὶ ξενοφῶν· πᾶσα γὰρ συναίρεσις ἐξ ὀξείας καὶ
βαρείας περισπωμένην ποιεῖ. Ἐν τῇ παραληγούσῃ



δὲ ὀξεῖαν καὶ περισπωμένην. ὀξεῖαν μὲν ὅταν ἢ τὸ
δεχόμενον ᾖ βραχὺ ὡς λάχης λόγος. ἐπάνω γὰρ
βραχέος περισπωμένη οὐ τίθεται. ἢ ὅταν τὸ δεχό
μενον μακρὸν καὶ τὸ μετ᾽ αὐτὸ μακρὸν ὡς αἰνείας
χρύσης. μακρὸν γὰρ πρὸ μακροῦ παροξύνεται. ἢ
ὅταν ᾖ θέσει μακρὸν οἷον πέρσης. ἐπάνω γὰρ θέ-
σει μακροῦ περισπωμένη οὐ τίθεται. Περισπωμέ-
νη δὲ ὅταν τὸ δεχόμενον ᾖ φύσει μακρὸν καὶ τὸ
μετ᾽ αὐτὸ βραχύ. οἷον μαῖα. γαῖα. μοῦσα. πᾶν
γὰρ φύσει μακρὸν πρὸ βραχέος κείμενον περισπᾶ-
ται. Ἔτι καὶ εἰ ἀπὸ συναιρέσεως μακρὸν εἴη οἷ-
ον βοᾶται ποιεῖται. Ἐν τῇ προπαραληγούσῃ δὲ
ἀεὶ ὀξεῖαν τίθεμεν. ὡς φιλόσοφος. φιλόκαλος.
πρὸ δύο γὰρ συλλαβῶν ἀεὶ ὀξεῖα τίθεται. Εἰς χρό
νους μακρὰν καὶ βραχεῖαν οἷς ἐχρῶντο οἱ παλαι
οὶ ἐπὶ τοῖς διχρόνοις ὡς σημείοις δηλοῦντες τὸ
μακρὸν καὶ τὸ βραχύ. οἷον ἀκούω. ὀρίνω. ὀτρύ
νω. ἄρης. Εἰς πνεύματα δασεῖαν καὶ ψιλὴν οἷς
χρώμεθα ἐπὶ τῶν φωνηέντων καὶ διφθόγγων. πᾶ
σα γὰρ λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομέ
νη ἢ ψιλοῦται ἢ δασύνεται. πότε δὲ τοῦτο γίνεται
ἐν τῷ περὶ πνευμάτων βιβλίῳ γεωργίου τοῦ χοι
ροβοσκοῦ ζητητέον. δασύνεται δὲ καὶ τὸ ῥ ἐν ἀρ
χῇ λέξεως. οἷον ῥήτωρ. ῥητορική. δυοῖν δὲ ὄντοιν
ὅπου ἂν τύχωσι τὸ πρῶτον ψιλοῦται καὶ τὸ δεύ

τερον δασύνεται κατὰ τοὺς παλαιούς· οἷον ἄῤῥητον· ἄῤῥωστος. Εἰς πάθη ἀπόστροφον· ὑφὲν· καὶ ὑποδιαστολήν. Χρώμεθα δὲ τῇ ἀποστρόφῳ ἐν τοῖς πάθεσι τῶν λέξεων ἐντελεῖ ἑπομένου φωνήεντος· ἀντὶ τεσσάρων γραμμάτων· ἀντὶ βραχέος α οἷον ἄρ' ὄντος ἀντὶ ἄρα ὄντος· ἀντὶ ε οἷον φέρ' εἰπὲ ἀντὶ φέρε εἰπέ· ἀντὶ ο οἷον τοῦτ' ἐμὸν ἀντὶ τοῦτο ἐμόν· ἀντὶ βραχέος ϊ οἷον ἐπ' ἀκταῖς ἀντὶ ἐπὶ ἀκταῖς. οἱ ποιηταὶ δὲ καὶ ἀντὶ αι καὶ οι διφθόγγου ταύτῃ χρῶνται οἷον βούλομ' ἐγώ· καὶ οἴμ' ὡς ἄχθομαι. Τῇ δὲ ὑφὲν χρώμεθα ἐν συναφείᾳ δυοῖν λέξεων φύσει διῃρημένων· καὶ ἐν τοῖς συνθέτοις ὀνόμασιν οἷον τὴν ἀρχήν· τὸ πρῶτον· φιλόσοφος· φιλόδωρος. Τῇ ὑποδιαστολῇ δὲ χρώμεθα ἐν ταῖς διαστολαῖς τῶν συνημμένων λέξεων· οἷον ὅ,τι· τό,τε· καὶ ἐν ταῖς ἐρωτήσεσι μετὰ στιγμῆς· οἷον σὺ ταῦτα λέγεις.

Περὶ στιγμῆς.

Στιγμή ἐστι διανοίας τελείας σημεῖον. Διαιρεῖται δὲ εἰς τελείαν στιγμήν· μέσην· καὶ ὑποστιγμήν. Τελεία στιγμή ἐστιν ὅτε ἡ διάνοια τελεία ὑπάρχει· μέση ὅτε ἡ διάνοια μεσάζουσα καὶ ἀτελής. ὑποστιγμὴ ὅτε κρεμασμένη καὶ ζητεῖ τὸ ἐπίλοιπον.

Περὶ τόπων τῶν τόνων.

Τόποι τῆς ὀξείας τρεῖς· ἡ λήγουσα· παραλήγουσα· καὶ προπαραλήγουσα. Τὸ ἔχον τὴν ὀξεῖαν ἐπὶ

τῆς ληγούσης καλεῖται ὀξύτονον· οἷον θεατής· τὸ
ἔχον ἐπὶ τῆς παραληγούσης παροξύτονον καὶ
βαρύτονον· οἷον αἴας· τὸ ἔχον ἐπὶ τῆς προπαρα
ληγούσης προπαροξύτονον καὶ βαρύτονον· οἷον
φιλόδημος· Τόπος τῆς βαρείας εἷς λήγου
σα· καὶ πᾶσα δὲ λέξις αὐτὴν δεχομένη, καθ' ὁ-
μαλισμὸν ἀναγινώσκεται· ἔτι δὲ τόνος συλλαβι
κῶς καὶ οὐ κυρίως· Τόποι τῆς περισπωμένης
δύο λήγουσα καὶ παραλήγουσα· τὸ ἔχον τὴν πε
ρισπωμένην ἐπὶ τῆς ληγούσης καλεῖται περισπώμε
νον· οἷον δημοφῶν· τὸ ἔχον ἐπὶ τῆς παραληγού
σης προπερισπώμενον καὶ βαρύτονον· οἷον δῆμος
κῆπος· ἀλλὰ περὶ μὲν τούτων ἅλις· νῦν δὲ περὶ
τῆς συντάξεως τῶν προθέσεων λέγωμεν· ἀναγκαί
ας οὔσης τοῖς εἰσαγωγικοῖς· Περὶ τῶν προ
θέσεων τίσι πτώσεσι συντάσσονται καὶ τί σημαίνου-
σι· Περὶ μονοσυλλάβων· Ἐν
Ἡ ἐν ἀεὶ δοτικῇ συντάσσεται τὸ ἔντινι δηλοῦσα· οἷ
ον ἐν οἴκῳ· ἐν ἀγρῷ· ἀττικῶς δὲ καὶ γενικῇ κα
τ' ἔλλειψιν τῆς δοτικῆς· οἷον ἐν ἅδου ἀντὶ ἐν τῷ τό
πῳ τοῦ ἅδου· παρὰ ποιηταῖς δὲ λέγεται ἐνὶ καὶ
εἰν· τὸ δὲ ἐνὶ δύναμιν τοῦ ἔστιν ἔχει· Εἰς
Ἡ εἰς ἥτις ἀττικῶς ἐς λέγεται, αἰτιατικῇ συντά
σσεται· εἰς ἐκκλησίαν εἰς ἀγορὰν· ἀττικῶς δὲ καὶ
γενικῇ κατ' ἔλλειψιν τῆς αἰτιατικῆς· οἷον εἰς διδα-

σκάλου· ἀντὶ εἰς τὴν οἰκίαν τοῦ διδασκάλου. χρώμεθα δὲ ταύτῃ ἐπὶ ἀψύχων· οἷον πορεύομαι εἰς ἀγοράν.

ἐξ

Ἡ ἐξ ἥτις καὶ ἐκ λέγεται, ἀεὶ γενικῇ συντάσσεται· ἐξ ἀγορᾶς· ἐκ τοῦ βουλευτηρίου. ἔχει δὲ τὸ ξ ἑπομένου φωνήεντος· τὸ κ δὲ ἑπομένου συμφώνου.

Ἡ σὺν ἥτις καὶ ξὺν ἀττικῶς λέγεται, δοτικῇ μόνῃ συντάσσεται· ὁμόνοιαν σημαίνουσα· σὺν θεῷ· σὺν τῷ ἰωάννῃ.

Πρός

Ἡ πρὸς γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται· γενικῇ ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν· οἷον πρὸς θεοῦ τἀγαθά· ἀντὶ παρά. ἢ ὅτε ἐπὶ ὅρκου κεῖται· οἷον ποίησον πρὸς θεοῦ. ἢ τὸ ἐνώπιον δηλοῖ· οἷον πρός τε θεῶν μακάρων· πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον· οἷον οὐ πρὸς ἰατροῦ σοφοῦ. δοτικῇ δὲ ὅτε τὸ πλησίον· οἷον πρὸς τοῖς ποσί· πρὸς τῷδε. αἰτιατικῇ δὲ ὅταν κίνησιν πρός τι ἔμψυχον ὡς ἐπὶ τὸ πλεῖστον σημαίνῃ· οἷον πρὸς τὸν ἰωάννην. ἢ ἕνωσιν ὡς πρὸς τὸν θεὸν ἀντὶ μετὰ θεοῦ. ἢ λόγον τινὰ ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα· οἷον πρὸς αὐλὸν ᾄδει.

Πρό

Ἡ πρὸ ἀεὶ γενικῇ συντάσσεται τόπον καὶ χρόνον σημαίνουσα· οἷον πρὸ τῆς θύρας· πρὸ τοῦ περσικοῦ πολέμου ἐγένετο ὁ τρωϊκός.

Περὶ δισυλλάβων.

Ἀνὰ

Ἡ ἀνὰ αἰτιατικῇ κοινῶς συντάσσεται· οἷον ἀνὰ τὴν ὁδόν. ἀνὰ τὸ στρατόπεδον. ἀνὰ τὴν πόλιν. ἀντὶ ἐπὶ τῆς ὁδοῦ. διὰ τοῦ στρατοπέδου. εἰς τὴν πόλιν· τὸ δὲ χρυσέῳ ἀνὰ σκήπτρῳ ποιητικὸν ἀντὶ σύν.

Κατὰ.

Ἡ κατὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅταν ἐπιφορὰν καὶ κατηγορίαν σημαίνῃ· οἷον ὁ ἄθεος νεστόριος κατὰ πάντων τῶν ἀγαθῶν καὶ σοφῶν καὶ λέγει καὶ γράφει. ἢ τὸ ἐπάνω καὶ περί τι. οἷον κατὰ γῆς κάθημαι. τὸ δὲ κατ' οὐλύμποιο καρήνων χωόμενος ἀντὶ ἀπό. αἰτιατικῇ δὲ ὅτε ὁμοιότητα· οἷον κατὰ δημοσθένην γράφει. καθ' ὅμηρον. ἢ χρόνον· οἷον καθ' ἡμᾶς ἐγένετο ἀνὴρ σοφός. ἢ κίνησιν ὡς κατὰ νῆας ἀχαιῶν.

Διὰ.

Ἡ διὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ἐνέργειαν ἢ τὸ μέσον σημαίνουσα. ὡς διὰ σοῦ τοῦτο γένοιτο. διὰ τῆς ἀγορᾶς ἐβάδιζε. αἰτιατικῇ δὲ αἰτίαν. οἷον διὰ τὰ χρήματα πάντα γίνονται καὶ τὸ μέσον σπανίως ὡς διά τε ἔντεα καὶ μέλαν αἷμα.

Μετὰ.

Ἡ μετὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅτε ἕνωσιν δηλοῖ. ὡς μετὰ σοῦ. δοτικῇ δὲ τὸ αὐτὸ ποιητικῶς. οἷον μετὰ τριτάτοισιν ἄνασσε. αἰτιατικῇ δὲ ὅτε τὸ ὕστερον. οἷον μετὰ

σὲ ἐγὼ ἦλθον.

Παρά

Ἡ παρὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. καὶ γενικῇ μὲν ὅτε τὴν ἀπό τινος κίνησιν δηλοῖ. οἷον παρὰ τοῦ βασιλέως ἡ δικαιοσύνη. δοτικῇ δὲ ὅτε τὸ πλησίον μετ' ἐμψύχου. οἷον παρὰ τῷ βασιλεῖ κάθηται. παρὰ σοὶ διατρίβω. αἰτιατικῇ δὲ ὅτε ἢ τὸ ἐγγὺς μετὰ ἀψύχου ὡς παρὰ τὴν θάλατταν ἢ κίνησιν ἐπί τι. οἷον παρὰ σὲ ἔρχομαι ἢ τὸ διά τι ὡς παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω οἷον παρὰ τὸ δίκαιον πράττει. καὶ παρὰ γνώμην συμβαίνει.

Ἀντί

Ἡ ἀντὶ γενικῇ συντάσσεται. ἀντὶ σοῦ. ἀντὶ ἐκείνου ἀντὶ πολλῶν. ἐν τῇ συνθέσει δὲ ποτὲ μὲν τὸ ἴσον σημαίνει. ὡς ἀντίθεον πολύφημον. ἀντὶ ἰσόθεον. ποτὲ δὲ τὸ ἐναντίον ὡς ἀντίχριστος. καὶ ἀντίθεον δόγμα τὸ ἐναντίον τῷ θεῷ.

Ἐπί.

Ἡ ἐπὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅτε τὸ ἐπάνω δηλοῖ. οἷον τὰ ζῶα ἐπὶ γῆς ἢ χρόνον οἷον ἐπὶ ἄρχοντος πυθοκλέους ἢ τὸ περί τι καὶ ἔν τινι οἷον ἐπὶ πολλῶν. ἢ κίνησιν ἀττικῶς. οἷον ἐπὶ τῆς χώρας. δοτικῇ δὲ ὅτε αἰτίαν οἷον ἐπ' ἀγαθῷ ἐδημηγόρει. ἢ τὸ ἐπάνω οἷον ἐπὶ προπίδι κράνος. ἢ τὸ ὕστερον. ὡς ἐπὶ τούτοις καὶ ἕτερα διηγεῖτο. ἢ αὐτεξουσιότητα τινά. ὡς ἐπὶ τῷ ἀρχιερεῖ τὰ τῆς ἐκκλησίας πράγματα. ἢ ἐπιβου-

λῳ· οἷον ἐπὶ τῷ δήμῳ ἀντὶ κατὰ τοῦ δήμου· αἰ
τιατικῇ δὲ ὅτε κίνησιν δηλοῖ· οἷον ἐπὶ τὴν ἀττικὴν
ἐπορεύετο· ἢ δόλον· οἷον ἐφ' ἡμᾶς ὥρμησεν· Περὶ
Ἡ περὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται
γενικῇ μὲν ὅτε τὸ αἴτιον δηλοῖ· οἷον μάχομαι πε
ρὶ σοῦ· δοτικῇ δὲ σχεδὸν τὸ αὐτὸ ποιητικῶς· οἷον
δέδοικα περὶ ξανθῷ μενελάῳ· ἔτι καὶ τὸ ἐρωτί
σει περὶ δουρὶ ἀντὶ ἐν· καὶ περὶ πύργῳ ἀντὶ κύ-
κλῳ· αἰτιατικῇ δὲ ὅτε τὸ κύκλῳ καὶ περὶ ποιητι
κὸν καὶ συστατικόν· οἷον περὶ τὴν πόλιν τὸ στράτευ
μα· τί τὸ περὶ ἐμὲ πρᾶγμα· Ἀμφὶ·
Ἡ ἀμφὶ ὁμοιόσημος καὶ ὁμοιοσύντακτος ἐστὶ τῇ
περί· συνηθεστέρα μέντοι ἡ περί· πολλάκις δὲ πα
ρὰ ποιηταῖς ὁμοῦ κεῖνται· ὡς ἕκτωρ δ' ἀμφὶ περὶ-
στρῶφα· καλλίτριχας ἵππους· Ἀπό·
Ἡ ἀπὸ ἀεὶ γενικῇ συντάσσεται τῶν ἀπὸ τόπου κίνη
σιν σημαίνουσα· οἷον ἀπὸ τῆς πόλεως· ἀπὸ τοῦ
δικαίου· Ὑπό·
Ἡ ὑπὸ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσε
ται· γενικῇ μὲν ὅτε ἢ τὸ αἴτιον σημαίνει· οἷον ὑπὸ
νόσου ὂν περιπαθεῖ· ἢ τὸ ὑποκάτω οἷον ὑφ' εἵμα-
τος· δοτικῇ δὲ καὶ αἰτιατικῇ τὸ αὐτὸ οἷον ὑπὸ δέν-
δρῳ καὶ ὑπὸ δένδρον· καὶ ὁ στρατιώτης ὑπὸ τὸν
στρατηγόν· Ὑπέρ·
Ἡ ὑπὲρ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται· γενικῇ

μὲν ὅτε ἢ βοήθειαν σημαίνει· οἷον ὑπὲρ κτησιφῶντος ὁ λόγος· ἢ αἰτίαν οἷον ὑπὲρ ὧν ἔλεξα πάλιν λέξω· ἢ τὸ ἐπάνω οἷον ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον· αἰτιατικῇ δὲ ὅτε τὸ πλέον ἢ ἐπέκεινα δηλοῖ· οἷον ὑπὲρ ἄνθρωπον φρονεῖ· ὑπὲρ τὴν θράκην καὶ μακεδονίαν. Παρέπονται δὲ ταῖς προθέσεσι πέντε· τὸ ὀξύνεσθαι τὸ βραχυκαταληκτεῖν· πλὴν τῆς εἰς καὶ ἐξ· τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι· τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι· πλὴν τῆς ἀμφὶ· τὸ ψιλοῦσθαι· πλὴν τῆς ὑπὸ καὶ ὑπὲρ τὸ γὰρ υ προηγούμενον τῆς λέξεως δασύνεται.

Εἰσὶ δὲ καὶ πολλὰ ἐπιρρήματα γενικῇ συντασσόμενα· οἷον ἔξω· χωρὶς· ἄνευ· πλὴν· ἅλις· ἔνδον εἴσω· τὰ δὲ ἀθροιστικὰ δοτικῇ· τὰ δὲ θετικὰ δοτικῇ καὶ αἰτιατικῇ· καὶ αἷς ἂν πτώσεσι τὰ αὐτῶν συντάσσονται ῥήματα. τὸ δὲ μὰ καὶ νὴ αἰτιατικῇ. καὶ τὸ μὲν μὰ ὡς τὰ πολλὰ ἀποφάσκει· τὸ δὲ νὴ καταφάσκει· καὶ ταῦτα μὲν τοῖς εἰσαγωγικοῖς ἱκανὰ ὡς ἐν ἐπιτομῆς εἴδει· ἐν δὲ τῷ δευτέρῳ διεξοδικώτατα περὶ ὀνόματος καὶ ῥήματος
διαληψόμεθα.

Τέλος τῆς ἐπιτομῆς.

ΠΕΡΙ ΠΑΘΩΝ ΤΩΝ ΛΕΞΕΩΝ ΕΚ ΤΩΝ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΡΥΦΩΝΟΣ.

Τὰ τῶν λέξεων πάθη εἰς δύο γενικώτατα διαιροῦνται ποσόν τε καὶ ποιόν. καὶ τοῦ μὲν ποσοῦ εἴδη ἔνδεια καὶ πλεονασμός. τοῦ δὲ ποιοῦ μετάθεσις καὶ μετάληψις. ἀμφοτέρων δὲ ὁμοῦ συνελθόντων τμῆσις γίνεται. ἔστι δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν πάθη πέντε. πλεονασμός. ἔνδεια. μετάθεσις. μετάληψις. τμῆσις.

Πλεονασμός.

Πλεονασμὸς μὲν οὖν ἐστὶ πλειότης χρόνων ἢ χρόνου στοιχείων ἢ στοιχείου.

Ἔνδεια.

Ἔνδεια δὲ τοὐναντίον χρόνου ἢ χρόνων στοιχείου ἢ στοιχείων ἐλάττωσις.

Μετάθεσις.

Μετάθεσις δέ ἐστι στοιχείου μετακίνησις ἐκ τῆς ἰδίας τάξεως ἐφ' ἑτέρας τάξεως οἷον δαρτὰ ἀντὶ δρατά. κραδία ἀντὶ καρδία. κάρτος ἀντὶ κράτος. καλεῖται δὲ καὶ ἐνάλλαξις καὶ ὑπέρθεσις.

Μετάληψις.

Μετάληψις δέ ἐστι στοιχείου μετακίνησις. οἷον ἠπεδανὸς ἀντὶ ἀπεδανός. αἱμηπότης ἀντὶ αἱμοπότης.

Τμῆσις.

Τμῆσις δέ ἐστι συνθέτου λόγου ἀνάλυσις εἰς δύο λέξεις. οἷον ἄκρα πόλις ἀντὶ ἀκρόπολις.

Τούτων δὲ τῶν πέντε παθῶν τὰ μέν, εἰς εἴδη τέ-

νεται ὅτε πλεονασμὸς καὶ ἡ ἔνδεια. τὰ δὲ λοιπὰ εἰσὶν ἄτμητα. Τοῦ δὲ πλεονασμοῦ ἤδη εἰσὶν ἐννέα. Πρόσθεσις. Ἀναδίπλωσις. Ἔκτασις. Ἐπέκτασις. Διαίρεσις. Παρένθεσις. Διπλασιασμὸς. Παρέμπτωσις. Καὶ προσχηματισμός. Τῆς δὲ ἐνδείας ἤδη εἰσὶν ἐννέα. Ἀφαίρεσις. Ἆρσις. Συστολή. Συγκοπή. Συναλοιφή. Ἔλλειψις. Παρέλλειψις. Ἔκθλιψις. Καὶ ἀποκοπή. Ἀντίκειται οὖν πρόσθεσις μὲν ἀφαιρέσει. Ἀναδίπλωσις δὲ ἄρσει. Ἔκτασις συστολῇ. Ἐπέκτασις συγκοπῇ. Διαίρεσις συναλοιφῇ. Παρένθεσις ἐλλείψει. Διπλασιασμὸς παρελλείψει. Παρέμπτωσις ἐκθλίψει. Προσχηματισμὸς ἀποκοπῇ.

Πρόσθεσις.

Πρόσθεσις μὲν οὖν ἐστὶ προσθήκη στοιχείου κατ' ἀρχὴν τῆς συλλαβῆς. οἷον ἀσταφὶς ἀντὶ σταφίς. ἄσταχυς ἀντὶ στάχυς. θαμὰ ἀντὶ ἅμα.

Ἀναδίπλωσις.

Ἀναδίπλωσις δὲ ἐστὶ τῶν πρώτων ἢ δευτέρων συλλαβῶν διὰ τῶν αὐτῶν συμφώνων ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων καὶ μετοχῶν καὶ ὀνομάτων. πλεονάζει δὲ παρά τε Ἴωσι καὶ Αἰολεῦσιν. οἷον κεκάμωσιν ἀντὶ κάμωσι. λελάχωσιν ἀντὶ λάχωσιν. ἀταρτηρὸς ἀντὶ

ἀτηρὸς. ἐτήτυμον ἀντὶ ἔτυμον. Ἔκτασις.
Ἔκτασίς ἐστιν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκ-
ταθῇ. ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐ-
τῶν μεταθῇ. οἷον κάλος καλὸς. κόρη κώρη.

Ἐπέκτασις.

Ἐπέκτασίς ἐστι πλεονασμὸς συλλαβῆς κατὰ μέ-
σον ὁμοτόνου ὅταν μὴ γενικὸν παρατήρημα κω-
λύσῃ. οἷον εὐτύχεον ἀντὶ εὔτυχον. ἀδελφειός ἀν-
τὶ ἀδελφὸς. πολεμήϊα ἀντὶ πολέμια. Διαίρεσις.
Διαίρεσις. ἐστὶ συλλαβῆς ἀνάλυσις ἢ διάστασις
εἰς δύο. τὸ δὲ πάθος ἰώνων καὶ θετταλῶν. οἷον
πάϊς ἀντὶ παῖς. κόϊλον ἀντὶ κοῖλον. βέλεος ἀντὶ
βέλους. Παρένθεσις.
Παρένθεσίς ἐστὶ προσθήκη φωνήεντος κατὰ μέσον
οὐ ποιοῦντος συλλαβήν. οἷον πνείοντες ἀντὶ πνέ-
οντες. κεινὴ ἀντὶ κενὴ. νοῦσος ἀντὶ νόσος. ξεῖνος
ἀντὶ ξένος. εἰληλυθὼς ἀντὶ ἐληλυθώς. τὸ δὲ πά-
θος ἰώνων. Διπλασιασμός.
Διπλασιασμός ἐστι τοῦ αὐτοῦ συμφώνου προσθή-
κη κατὰ μέσον οὐκ ἀποτελοῦντος συλλαβήν.
ὅττι ἀντὶ ὅτι. ἄδδην ἀντὶ ἄδην. μέσσον ἀντὶ μέ-
σον. ἔννεπε ἀντὶ ἔνεπε. ὅππότε ἀντὶ ὁπότε. τὸ δὲ
πάθος ἰώνων. Παρέμπτωσις.
Παρέμπτωσίς ἐστι προσθήκη συμφώνων κατὰ μέ-
σον οὐκ ἀποτελούντων συλλαβήν. οἷον πτόλις ἀν

τὶ πόλις· πτόλεμος ἀντὶ πόλεμος·

Προσχηματισμός·

Προσχηματισμός ἐστι προσθήκη συλλαβῆς κατὰ τὸ τέλος· ἔστι δὲ τῶν τεσσάρων διαλέκτων ἴδιος· οἷον λόγοισιν ἀντὶ λόγοις· μούσαισιν ἀντὶ μούσαις· προσώπατα ἀντὶ πρόσωπα· ἐγὼν ἀντὶ ἐγώ· Λεκτέον δὲ καὶ περὶ ἐνδείας·

Ἔνδεια·

Ἔνδεια ἐστὶν ἀφαίρεσις κατ᾽ ἀρχὴν στοιχείου· οἷον ὁρτὴ ἀντὶ ἑορτή· αἶα ἀντὶ γαῖα· κεῖνος ἀντὶ ἐκεῖνος· τὸ δὲ πάθος ἰώνων·

Ἄρσις·

Ἄρσις ἐστὶν ἀποβολὴ κατ᾽ ἀρχὴν τῆς ἀναδιπλωμένης συλλαβῆς· οἷον βλῆσθαι ἀντὶ βεβλῆσθαι· δέχθαι ἀντὶ δεδέχθαι· βλήμενος ἀντὶ βεβλημένος·

Συστολή·

Συστολή ἐστιν ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ· ἢ τὰ μακρὰ ἢ τὰ βραχέα ἀντίστοιχα αὐτῶν μεταθῇ· οἷον φυσίζοος ἀντὶ φυσίζωος· ξερὸν ἀντὶ ξηρόν·

Συγκοπή·

Συγκοπή ἐστιν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον· οἷον κάμορος ἀντὶ κακόμορος· δάσκιον ἀντὶ δασύσκιον·

Συναλοιφή·

Συναλοιφή ἐστι δύο συλλαβῶν κατὰ φωνῆεντος ἕνωσις καταβολῇ τόνων· γίνεται δὲ κατὰ τρόπους ἑπτά· ἁπλοῦς μὲν τρεῖς· κατὰ θλῖψιν· κατὰ κρᾶσιν· κατὰ συναίρεσιν· συνθέτους δὲ τέσσαρας· κα

πὰ θλῖψιν καὶ κρᾶσιν· κατὰ θλῖψιν καὶ συναίρεσιν· κατὰ κρᾶσιν καὶ συναίρεσιν· κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν. Κατὰ θλῖψιν ἐπ᾽ ἐμὲ ἀντὶ ἐπὶ ἐμέ· κατὰ κρᾶσιν τὰμὰ ἀντὶ τὰ ἐμά· κατὰ συναίρεσιν νηρῆδες ἀντὶ νηρηΐδες· κατὰ θλῖψιν καὶ κρᾶσιν κἀγὼ ἀντὶ καὶ ἐγώ· κατὰ θλῖψιν καὶ συναίρεσιν ἐμοῦ ποδώνει ἀντὶ ἐμοὶ ὑποδώνει· κατὰ κρᾶσιν καὶ συναίρεσιν ὡπόλος ἀντὶ ὁ αἰπόλος. Κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν ἐν τ᾽ αἰθιοπίᾳ ἀντὶ ἐν τῇ αἰθιοπίᾳ.

Ἔλλειψις.

Ἔλλειψίς ἐστιν ἀποβολὴ φωνήεντος κατὰ μέσον οὐ ποιοῦντος συλλαβήν· ἀμύξαι ἀντὶ αἰμύξαι· γεραὸν ἀντὶ γεραιόν.

Παρέλλειψις.

Παρέλλειψίς ἐστιν ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπεται· κάλιον ἀντὶ κάλλιον· θᾶτον ἀντὶ θᾶττον.

Ἔκθλιψις.

Ἔκθλιψίς ἐστιν ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς οὐ ποιοῦντος συλλαβήν· σκῆπτον ἀντὶ σκῆπτρον.

Ἀποκοπή.

Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος· οἷον δῶ ἀντὶ δῶμα· ἀπόλλω ἀντὶ ἀπόλλωνα· ποσειδῶ ἀντὶ ποσειδῶνα.

ΠΕΡῚ ἈΝΩΜΆΛΩΝ ῬΗΜΆΤΩΝ ΚΑΤᾺ ΣΤΟΙΧΕΙ͂ΟΝ. Ἀρχὴ τοῦ Α.

Ἄζω ὅθεν Ἀόριστος α. ἄσθην καὶ ἀάσθην.

Ἄγαμαι. Μέλλων. ἀγάσομαι. Ἀόριστος πρῶτος. ἠγάσθην. Μέσος ἀόριστος ἠγασάμην.

Ἄγω. Μέλλων. ἄξω. Ἀόριστος β. ἦγον καὶ ἀττικῶς ἤγαγον. Παρακείμενος. ἦχα καὶ ἀττικῶς ἀγήοχα.

Ἀγοράζω. Μέλλων. ἀγοράσω. Ἀόριστος. ἠγόρασα ἢ ἔρηκα.

Ἄδω. Μέλλων. ᾄσω. Ἀόριστος. ᾖσα.

Αἱροῦμαι. Μέλλων. αἱρήσομαι. Παρακείμενος. ᾕρημαι. Ἀόριστος. ᾑρέθην. Μέσος ἀόριστος β. εἱλόμην ἀπὸ τοῦ ἕλομαι.

Αἱρέω ῶ. Μέλλων. αἱρήσω.

Αἰσθάνομαι. Μέλλων. αἰσθήσομαι. Παρακείμενος. ᾔσθημαι. Μέσος ἀόριστος. ᾐσθόμην ἀπὸ τοῦ αἰσθέομαι οῦμαι.

Ἁμαρτάνω. Παρατατικὸς. ἡμάρτανον. Μέλλων. ἁμαρτήσω. Παρακείμενος. ἡμάρτηκα. Ἀόριστος β. ἥμαρτον ἀπὸ τοῦ ἁμαρτέω ῶ.

Ἀνοίγω. Μέλλων. ἀνοίξω. Ἀόριστος. ἀνέῳξα ἀττικῶς.

Ἀπεχθάνομαι. Μέλλων. ἀπεχθήσομαι. Παρα

κείμενος· ἀπήχθημαι· Μέσος ἀόριστος· ἀπε-
χθόμην ἀπὸ τοῦ ἀπεχθέομαι οῦμαι·
Ἀυξάνω καὶ αὔξω· Μέλλων· αὐξήσω· ὡς ἀπὸ
τοῦ παλαιοῦ θέματος αὐξέω ῶ· Ἀόριστος α·
ἠύξησα καὶ αὐξάνω· Παρατατικὸς· ηὔξανον·
Ἀλόω ῶ· Ἀόριστος β· ἧλον ἀπὸ τοῦ ἕλω· με-
τοχὴ ὁ ἁλοὺς ἁλόντος·
Ἀμφίεμαι καὶ ἀμφιέννυμι· Μέλλων· ἀμφιέσω
Ἀναγινώσκω· Παρατατικὸς· ἀνεγίνωσκον μό-
νον· Μέλλων· ἀναγνώσομαι· Παρακείμενος
ἀνέγνωκα· Ἀόριστος β· ἀνέγνων ἀπὸ τοῦ ἀ-
ναγνῶμι·
Ἀναζαινύω· Μέλλων· ἀναζάξω·
Ἀνακράζω· μέλλων· ἀνακράξω· Μέσος πα-
ρακείμενος· ἀνέκραγα· Ἀόριστος β· ἀνέκραγον
Ἀναπνέω· Μέλλων· ἀναπνεύσω· Ἀόριστος·
ἀνέπνευσα ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ·
Ἀναρρηγνύω καὶ ἀναρρήγνυμι· Μέλλων· ἀνα-
ρρήξω·
Ἀνασπάω ῶ· Μέλλων· ἀνασπάσω·
Ἁλίσκομαι· Μέλλων· ληφθήσομαι· Ἀόριστος
δεύτερος· ἑάλον·
Ἀπαναίνομαι· Ἀόριστος· ἀπηνηνάμην·
Ἀπόχρη· Μέλλων· ἀποχρήσεας Ἀόριστος·
ἀπέχρησε·

Ἀφίημι. Μέλλων. ἀφήσω. Ἀόριστος. ἀφῆκα.

Ἀντιστρέφω. Μέλλων. ἀντιστρέψω. Μέσος παρακείμενος. ἀντέστροφα.

Ἀναπεταννύω καὶ ἀναπετάννυμι. Μέλλων. ἀναπετάσω ἀπὸ τοῦ ἀναπετάω ῶ.

Ἀπέχω. Μέλλων. ἀφέξω διότι τὸ ἕξω δασύνεται τρέπεται τὸ π εἰς φ. Παρακείμενος. ἀπέσχηκα. Ἀόριστος β. ἀπέσχον ἀπὸ τοῦ ἀποσχέω ἀποσχῶ.

Ἀποδράω ῶ ὅθεν Ἀόριστος α. ἀπέδρα.

Ἀποδεικνύω καὶ ἀποδείκνυμι. Μέλλων. ἀποδείξω.

Ἀπολέω ῶ. μέλλων. ἀπολέσω. Παρακείμενος. ἀπώλεκα καὶ ἀττικῶς ἀπολώλεκα καὶ ἀπόλλω ἀπολῶ ἀπῶλα καὶ ἀττικῶς ἀπόλωλα. καὶ ἀπολλύω καὶ ἀπόλλυμι.

Ἀποσβεννύω καὶ ἀπόσβημι. Μέλλων. ἀποσβέσω. Ἀόριστος β. ἀπέσβη.

Ἀποτέμνω. Μέλλων. ἀποτεμῶ καὶ ἀποτμήσω. Ἀόριστος β. ἀπέτεμον.

Ἀποταννύω. Μέλλων. ἀποτάσω.

Ἀπαυράω ῶ. Ἀόριστος. ἀπηύρα.

Ἀποστυφελίζω. Μέλλων. ἀποστυφελίξω.

Ἀποκλαίω. Μέλλων. ἀποκλαύσω ἀπὸ τοῦ κλαύω παλαιοῦ.

Ἀρέσκομαι. Μέλλων. ἀρέσομαι. καὶ τὸ ἀπρὸ-
σωπον ἀρέσκει. Παρατατικός. ἤρεσκε.
Ἀτίζω. Μέλλων. ἀτίζω.
Ἀφικνοῦμαι. Μέλλων. ἀφίξομαι. Παρακεί-
μενος. ἀφῖγμαι. Μέσος ἀόριστος. ἀφικόμην.
Ἀφίπταμαι. Ἀόριστος. ἀπέπτην. Μέσος ἀό-
ριστος. ἀπεπτάμην.
Ἄχθομαι. Μέλλων. ἀχθήσομαι. Ἀόριστος α.
ἠχθέσθην. Ἀρχὴ τοῦ Β.
Βάλλω. Μέλλων. βαλῶ. Ἀόριστος. ἔβαλον
Παρακείμενος. βέβληκα. ἀπὸ τοῦ βλῶ βλήσω
Βλαστάνω καὶ βλαστέω ῶ. Ἀόριστος. ἔβλαστον
Βόω ῶ. Μέλλων. βόσω.
Βούλομαι. Μέλλων. βουλήσομαι. Παρακεί-
μενος. βεβούλημαι. Ἀρχὴ τοῦ Γ.
Γαμέω ῶ. Μέλλων. γαμήσω. Ἀόριστος. α.
ἔγημα.
Γίνομαι. Μέλλων. γενοῦμαι. Μέσος ἀόρι-
στος α. ἐγενάμην.
Γήθω. Μέλλων. γήσω. Μέσος παρακείμενος.
γέγηθα. καὶ γηθέω ῶ γηθήσω.
Γηράσκω καὶ γηράω ῶ. Μέλλων. γηράσω.
Γρηγορέω ῶ. Μέλλων. γρηγορήσω. Μέσος πα-
ρακείμενος ἐγρήγορα. Ὑπερσυντέλικος ἐγρηγόρειν
Γίνομαι καὶ γίγνομαι. Μέλλων. γενήσομαι ἀπὸ

τοῦ γεννάομαι ῶμαι. Παρακείμενος. γεγέννημαι
Μέσος ἀόριστος ᾱ. ἐγεννησάμην. Μέσος ἀόριστος
β. ἐγενόμην. Μέσος παρακείμενος. γέγονα. ἀ-
πὸ τοῦ γείνω γενῶ.

Γινώσκω. Μέλλων. γνώσομαι. Παρακείμενος
ἔγνωκα. Ἀόριστος β. ἔγνων. Ἀρχὴ τοῦ Δ.

Δαΐζω. Μέλλων. δαΐξω καὶ δαίω δαίσω δα-
ίζομαι. Δάκνω. Μέλλων. δήξω. Ἀόρι-
στος β. ἔδακον ἀπὸ τοῦ δήκω.

Δαμάζω. Μέλλων. δαμάσω.

Δαίω. Μέλλων. δαήσω. Ἀόριστος. ἐδάην.

Δεῖ. Μέλλων. δεήσει. Ἀόριστος. ἐδέησε.

Δεῖ. Παρατατικός. ἔδει. Ἀπαρέμφατον δεῖν

Δείδω. Μέλλων. δείσω. Παρακείμενος. δέ-
δοικα. Ὑπερσυντέλικος. ἐδεδοίκειν. Μέσος
παρακείμενος. δέδια. Μέσος ὑπερσυντέλικος
ἐδεδίειν.

Δέω. Μέλλων. δέσω καὶ δήσω.

Δέομαι. Μέλλων. δεήσομαι. Παρακείμενος.
δεδέημαι ἀπὸ τοῦ δεέομαι οῦμαι.

Δέχομαι. Μέλλων. δέξομαι. Παρακείμενος
δέδεγμαι. Μέσος ἀόριστος ᾱ. ἐδεξάμην.

Δέδηα ἀπὸ τοῦ δαίω. Μέσος παρακείμενος.

Διαζωννύω καὶ διαζώννυμι. Μέλλων διαζώσω

Διαλαγχάνω. Ἀόριστος β. διέλαχον ἀπὸ τοῦ

διαλήχω.　　Διδάσκω. Μέλλων. διδά-
ξω ἀπὸ τοῦ διδάχω. Ἀόριστος α. ἐδίδαξα.
Διδράσκω καὶ διαδιδράσκω Ἀόριστος α. διέ-
δρα καὶ ἀπέδρα.
Διαφθείρω. Μέλλων. διαφθερῶ. Μέσος πα-
ρακείμενος. διέφθορα.
Δοκέω ῶ. Μέλλων. δόξω ἀπὸ τοῦ δόκω.
Ἀόριστος α. ἔδοξα. τὸ δὲ δεδόκηκα ἀπὸ τοῦ
δοκέω δοκῶ.
Δράω ῶ. Μέλλων. δράσω. Παρακείμενος.
δέδρακα. Ἀόριστος α. ἔδρασα.
Δύω καὶ δύω. Μέλλων. δύσω. Ἀόριστος. β
ἔδυν ἀπὸ τοῦ δῦμι.　　Ἀρχὴ τοῦ Ε.
Ἐάω ῶ. Μέλλων. ἐάσω. Ἀόριστος α. εἴασα
Ἔδραμον ἀπὸ τοῦ τρέχω. Ἀόριστος β.
Ἐγκαλέω ῶ. Μέλλων. ἐγκαλέσω. Παρακεί-
μενος. ἐγκέκληκα.
Ἐγείρω. Μέλλων. ἐγερῶ. Ἀόριστος α. ἤγειρα
Ἐγχέω. Μέλλων. ἐγχεύσω ἀπὸ τοῦ ἐγχεύω.
Ἀόριστος α. ἐνέχεα καὶ ἐνέχευα αἰολικῶς.
Εἴδω. Μέλλων. εἴσω. Μέσος παρακείμενος
οἶδα. Ὑπερσυντέλικος. ᾔδειν. ὤφειλε δὲ εἶναι
εἴδειν. τρέπεται δὲ τὸ ε εἰς η καὶ τὸ ι ὑπογράφε-
ται.　　Εἶπα. Ἀόριστος α. καὶ εἶπον. Ἀό-
ριστος β. ἀπὸ τοῦ ἔπω ἀχρήστου.

Εἰσπλέω. Μέλλων. εἰσπλεύσω ἀπὸ τοῦ πλεύω
Ἐλεύθω. Μέλλων. ἐλεύσομαι. Μέσος παρα-
κείμενος. ἤλυθα καὶ ἀττικῶς ἐλήλυθα. Ἀόρι-
στος β. ἤλυθον καὶ ἦλθον ἦλθες. ἦλθε.
Ἔρομαι. Μέλλων. ἐρήσομαι. Μέσος ἀόρι-
στος. ἠρόμην.
Ἕζω. Μέλλων. ἕσω. Ἀόριστος α. εἷσα.
Ἐκκαίω καὶ ἐκκάω ἀττικῶς. Μέλλων. ἐκκαύ-
σω. Ἕλω ὅθεν Ἀόριστος β. εἷλον.
Μέσος παρακείμενος. Ἔμμορε ἀπὸ τοῦ μορέω
ῶ μέμορα καὶ ἔμμορα. ἢ ἀπὸ τοῦ μείρω μερῶ
μέμορα καὶ ἔμμορα.
Ἐμπίπτω. Μέλλων. ἐμπεσοῦμαι. Παρακεί-
μενος. ἐμπέπτωκα. Ἀόριστος β. ἐνέπεσον.
Ἐμπίπρημι. Μέλλων. ἐμπρήσω.
Ἐμπάζω. Μέλλων. ἐμπάσω.
Ἔολπα ἀπὸ τοῦ ἔλπω. Μέσος παρακείμε-
νος. ἦλπα καὶ ἔολπα.
Ἐπαινέω ῶ. Μέλλων. ἐπαινέσω. Παρακεί-
μενος. ἐπήνεκα. ἀόριστος. ἐπήνεσα.
Εἴρω. Μέλλων. ἐρῶ. Παρακείμενος. εἴρηκα.
Εὑρίσκω. Μέλλων. εὑρήσω. Παρακείμενος
εὕρηκα. Ἀόριστος β. εὗρον ἀπὸ τοῦ εὑρέω ῶ.
Εἴω. Μέλλων. εἵσω. Παρακείμενος. εἷκα.
Μέσος παρακείμενος. ἧκα. Ὑπερσυντέλικος ἥκειν

Ἔχω· Μέλλων· ἕξω· Παρακείμενος· ἔσχη-
κα· Ἀόριστος β· ἔσχον ἀπὸ τοῦ σχέω ῶ· καὶ
τὸ μὲν ἔχω ψιλοῦται· τὸ δὲ ἕξω δασύνεται εἰς
διαφορὰν τοῦ ἔξω ῥήματος ψιλουμένου·

Ἀρχὴ τοῦ Ζ·

Ζάγνυμι καὶ ζαγνύω· μέλλων· ζάξω·
Ζωννύω καὶ ζώννυμι· Μέλλων· ζώσω·

Ἀρχὴ τοῦ Η·

Ἤω· Ὑποσυντελικὸς· ἤεις ἤει ἀπὸ τοῦ εἴω·
Ἤκαχε ἀπὸ τοῦ ἄχω·
Ἠμύω· Μέλλων· ἠμύσω· Ἀρχὴ τοῦ Θ·
Θάπτω· Μέλλων· θάψω· Ἀόριστος· ἔθαψα
Θέλω· Μέλλων· θελήσω· Ἀόριστος· ἐθέλησα
καὶ ἐθέλω ἐθελήσω· Ἀόριστος· ἠθέλησα·
Θνήσκω· Μέλλων· θανοῦμαι· Παρακείμενος
τέθνηκα· Ἀόριστος β· ἔθανον· Ἀττικὸν· τε-
θναίην· Ἀπαρέμφατον· τεθνᾶναι·

ἀρχὴ τοῦ Ι·

Ἱκνοῦμαι· Μέλλων· ἵξομαι· Ἀόριστος β· ἱ-
κόμην· Παρακείμενος· ἶγμαι ἀπὸ τοῦ ἵκομαι
Ἱλάσκομαι· Μέλλων· ἱλάσομαι· Μέσος ἀό-
ριστος α· ἱλασάμην·
Ἵπταμαι· Μέσος ἀόριστος α· ἱπτάμην ἵπτω
ἀπὸ τοῦ ἴδω ἴδον ἀορίστου β ποιητικὸς· καὶ ἀ-
πὸ τοῦ εἴδω εἶδον καθαρόσ·

Ἀρχὴ τοῦ Κ.

Καίω καὶ κάω. Μέλλων. καύσω.
Καθέζω καὶ καθέζομαι. Μέλλων. καθεδοῦμαι
Κάθημαι. Μέλλων. καθήσομαι.
Καθαιρέω ῶ. Ἀόριστος β. καθεῖλον ἀπὸ τοῦ
καθέλω. Καθαίρω. Ἀόριστος ᾱ. ἐκάθηρα
Καθίημι. Ἀόριστος ᾱ. καθῆκα.
Κλάζω. Μέλλων. κλάγξω. Ἀόριστος ᾱ. ἔ-
κλαγξα. Παρακείμενος. κέκληγα.
Κάμνω καὶ κάμω. Ἀόριστος β. ἔκαμον.
Παρακείμενος. κέκμηκα ἀπὸ τοῦ κμῶ. Μέλ
λων. κμήσω.
Κείρω. Μέλλων. κερῶ. Ἀόριστος ᾱ. ἔκειρα.
Παρακείμενος. κέκαρκα.
Κορέω ῶ καὶ κορεννύω καὶ κορέννυμι. Μέλλων
κορέσω. Κράζω. Μέλλων. κράξω.
Μέσος παρακείμενος. κέκραγα. Ἀόριστος β.
ἔκραγον. Κρεμάζω καὶ κρεμάω ῶ καὶ
κρέμαμαι. Μέλλων. κρεμάσω.
Κρυβῶ καὶ ἐκρύβην ἀπὸ τοῦ κρύπτομαι ἠκρύ-
βομαι παλαιοῦ. Ἀρχὴ τοῦ Λ.
Λαγχάνω. Μέλλων. κληρώσομαι ἀπὸ τοῦ κλη
ρόω ῶ. Ἀόριστος β. ἔλαχον. Μέσος παρακεί
μενος. λέλογχα ἀπὸ τοῦ λήχω. Μέλλων. λήξω
Λήκω. Μέλλων. λήξω. Ἀόριστος β. ἔλακον

Λαμβάνω. Μέλλων. λήψομαι ἀπὸ τοῦ λήβω
ὅθεν Ἀόριστος β. ἔλαβον. Παρακείμενος λέ-
λειφα καὶ ἀττικῶς εἴληφα.
Λανθάνω. Μέλλων. λήσομαι ἀπὸ τοῦ λήθω.
Μέσος παρακείμενος. λέληθα. Ἀόριστος β. ἔ-
λαθον. Παρακείμενος. λέλησμαι. Μέσος ἀό-
ριστος β. ἐλαθόμην.
Λείπω. Μέλλων. λείψω. ἀόριστος ᾱ. ἔλει-
ψα. Ἀόριστος β. ἔλιπον. Ἀρχὴ τοῦ Μ
Μαίνομαι. Μέσος παρακείμενος. μέμηνα.
Μανθάνω. Μέλλων. μαθήσομαι ἀπὸ τοῦ μα-
θέω ῶ. Παρακείμενος. μεμάθηκα. Ἀόριστος β
ἔμαθον ἀπὸ τοῦ μήθω.
Μάχομαι. Μέλλων. μαχέσομαι ἀπὸ τοῦ μα-
χέομαι. Μέσος ἀόριστος ᾱ. ἐμαχεσάμην.
Μείρω. Μέσος παρακείμενος. μέμορα καὶ ἔ-
μμορα. Μέλω. Μέλλων. μελήσω.
Ἀπρόσωπον. Μέλλει. Παρατατικὸς. ἔμελε
Μέλλων. μελήσει. Παρακείμενος.
Μέμνημαι ἀπὸ τοῦ μνάομαι ῶμαι. Ὑπερσυντέ-
λικος. ἐμεμνήμην. Ἀόριστος α. ἐμνήσθην.
Μέλλων ᾱ. μνησθήσομαι.
Μένω. Μέλλων. μενῶ. Ἀόριστος ᾱ. ἔμεινα
Παρακείμενος. μεμένηκα.
Μέμηλε ἀπὸ τοῦ μέλω. Μέσος παρακείμενος

Μέμαα ἀπὸ τοῦ μάω ῶ. Μέσος παρακείμενος
Μιγνύω καὶ μίγνυμι. Μέλλων. μίξω.
Μοργνύω. Μέλλων. μόρξω.

Ἀρχὴ τοῦ Ν.

Νέω. Μέλλων. νάσω.
Νέμω. Παρακείμενος. νενέμηκα. Ἀόριστος ᾱ
ἔνειμα.

Ἀρχὴ τοῦ Ξ.

Ξωίημι. Μέλλων. ξωήσω. Ἀόριστος. ξωῆκα
καὶ ξωέηκα.

Ἀρχὴ τοῦ Ο.

Ὄζω. Μέλλων. ὄσω. Μέσος παρακείμενος.
ὦδα καὶ ἀττικῶς ὄδωδα.
Ὄιχομαι. Μέλλων. οἰχήσομαι. Μέσος ἀόρι-
στος. ὠχόμην.
Ὄιομαι καὶ κρᾶσει οἶμαι. ὄιει ὄιεται. Μέλλων.
οἰήσεται. Ἀόριστος ᾱ. ὠήθην.
Μέσος παρακείμενος. Οἶδα ἀπὸ τοῦ εἴδω.
Ὀιμώζω. Μέλλων. οἰμώξω. Ἀόριστος ᾱ. ᾤ-
μωξα. Ὀμνύω καὶ ὄμνυμι καὶ ὀμόω ῶ.
Μέλλων. ὀμόσω καὶ ὀμοῦμαι.
Ὀλολύζω. Μέλλων. ὀλολύξω.
Ὀμόργνυμι. Μέλλων. ὀμόρξω.
Ὀνόω ῶ. Μέλλων. ὀνόσω.
Ὀφείλω. Μέλλων. ὀφειλήσω καὶ ὄφλω ὀφλήσω
Παρακείμενος. ὤφληκα. Ἀόριστος. ὤφλησα.
Ὄπτομαι. Μέλλων. ὄψομαι. Ἀόριστος ᾱ. ὤ

φθῶ· Ὁράω ῶ· Παρατατικὸς· ἑώραον
ων ἀττικῶς· Παρακείμενος· ἑώρακα·

Ἀρχὴ τοῦ Π·

Παρίημι· Παρατατικὸς· παρῆν·
Πάρειμι· πάρει· πάρεστι·
Πάσχω· Μέλλων· πείσομαι ἀπὸ τοῦ πένθω·
Παρακείμενος· πέπονθα· Ἀόριστος β· ἔπαθον
Πέμπω· Μέλλων· πέμψω· Παρακείμενος
πέπομφα· Ἀόριστος ᾱ· ἔπεμψα·
Πετανύω· Μέλλων· πετάσω· Παρακείμενος
πέπτακα· Πέπτω καὶ πέσσω καὶ πέμπτω
ποιητικῶς· Μέλλων· πέμψω·
Πάομαι ῶμαι· Μέλλων· πάσομαι· Παρα-
κείμενος· πέπαμαι·
Πείρω· Μέλλων· περῶ· Ἀόριστος ᾱ· ἔπειρα
Πέφρικα ἀπὸ τοῦ φρίττω· Μέλλων· φρίξω·
ὁ παρακείμενος ἡμαρτημένος πέφρικα·
Πηγνύω καὶ πήγνυμι· Μέλλων· πήξω· Ἀό
ριστος· ἐπάγην·
Πίνω· Μέλλων· πώσω· Παρακείμενος· πέ-
πωκα· Ἀόριστος β· ἔπιον·
Πίπτω· Μέλλων· πεσοῦμαι· Παρακείμενος
πέπτωκα· Ἀόριστος β· ἔπεσον·
Πίπρημι· Μέλλων· πρήσω·
Πλάττω σω· Μέλλων· πλάσω· Ἀόριστος ᾱ

ἔπλασα. Πλέω. Μέλλων. πλεύσω ἀπὸ-
τοῦ πλεύω. οὕτω καὶ πνέω. Μέλλων. πνεύσω
Πράττω τὸ πωλῶ. Μέλλων. πράσω.
Προΐεμαι. Μέλλων. προηκάμην.
Πετάω ῶ. Μέλλων. πετάσω.
Προστρέχω. Μέλλων. προσδραμοῦμαι. Ἀό-
ριστος β. προσέδραμον.
Πέρθω. Ἀόριστος β. ἔπραθον.
Πτάω ῶ. Μέσος ἀόριστος α. ἐπτάμην.
Πτήσσω. Μέλλων. πτήξω.
Πυνθάνομαι. Μέλλων. πεύσομαι ἀπὸ τοῦ πεύ-
θομαι. Παρακείμενος. πέπυσμαι. Ἀόριστος
β ἐπυθόμην. Ἀρχὴ τοῦ Ρ.

Ῥέζω. Μέλλων. ῥέξω.
Ῥηγνύω καὶ ῥήγνυμι. Μέλλων. ῥήξω.
Ῥωννύω καὶ ῥώννυμι. Μέλλων. ῥώσω.
Ῥωννύομαι. Μέλλων. ῥώσομαι. Παρακείμε-
νος. ἔρρωμαι ἔρρωσαι ἔρρωται. προστακτικὸν ἔρ-
ρωσο. ἐρρώσθω ἔρρωσθε ἐρρώσθωσαν.

Ἀρχὴ τοῦ Σ.

Σβεννύω. Μέλλων. σβέσω καὶ σβήσομαι. Ἀό-
ριστος β. ἔσβην.
Σεύομαι. Ἀόριστος α. ἐσύθην. Ἀόριστος β.
ἔσσυα. Σήπομαι. Μέλλων. σήψομαι.
Ἀόριστος. ἐσάπην.

Σπένδω. Μέλλων. σπείσω. Ἀόριστος α. ἔσπεισα. Στάζω καὶ σταλάζω. Μέλλων. στάξω. Στένω καὶ στενάζω. Μέλλων. στενάξω. Στίζω. Μέλλων. στίξω.

Στορέννυμι. Μέλλων. στορέσω. Ἀόριστος α. ἐστόρεσα. Στρωννύω. Μέλλων. στρώσω. Ἀόριστος. α. ἔστρωσα.

Συγκεραννύω. Μέλλων. συγκεράσω. Παρακείμενος. συγκέκρακα.

Συμβαίνω. Μέλλων. συμβήσομαι. Παρακείμενος. συμβέβηκα. Ἀόριστος β. συνέβην.

Σχέω ῶ. Μέλλων. σχήσω. Ἀόριστος β. ἔσχον ὅθεν προστακτικὸν σχὲς σχέτω.

Ἀρχὴ τοῦ Τ. Παρακείμενος.

Τέθνηκα καὶ τέθναα. ἀπὸ τοῦ θνήσκω.

Τέμνω. Μέλλων. τμήσω. Ἀόριστος β. ἔταμον. Τάχω. Ἀόριστος β. ἔτυχον.

Τάζω. Μέλλω. τάξων. Ἀόριστος β. ἔταγον ὅθεν ὀταγών.

Τήκω. Μέλλων. τήξω. Παρακείμενος. τέτηκα. Τίκτω. Μέλλων. τέξω. Ἀόριστος β. ἔτεκον. Τιτρώσκω. Μέλλων. τρώσω Ἀόριστος α. ἔτρωσα.

Τίνω καὶ τίω. Μέλλων. τίσω.

Τλάω ῶ. Μέλλων. τλήσω. Ἀόριστος β.

ἔτλην ἀπὸ τοῦ τλῆμι.
Τρέφω. Μέλλων. θρέψω. Ἀόριστος α. ἔθρε-
ψα. Μέσος παρακείμενος. τέτροφα.
Τρέω ῶ. Μέλλων. τρέσω.
Τυγχάνω. Μέλλων. τεύξομαι ἀπὸ τοῦ τεύχω
Παρακείμενος. τετύχηκα ἀπὸ τοῦ τυχέω ῶ.
Ἀόριστος β. ἔτυχον. Ἀρχὴ τοῦ Υ.
Ὑπέχω. Μέλλων ὑφέξω. Παρακείμενος.
ὑπέσχηκα. Ἀόριστος β. ὑπέσχον.
Ὑπισχνοῦμαι. Μέλλων. ὑποσχήσομαι. Παρα-
κείμενος. ὑπέσχημαι. Μέσος ἀόριστος β. ὑπε-
σχόμην. Ὑποδύω. Μέλλων. ὑποδύσω
Ἀόριστος β. ὑπέδυν ἀπὸ τοῦ ὑποδῦμι.
Ὑποστερίσκω. Μέλλων. ὑποστερίσω.
Ὑπνώττω. Μέλλων. ὑπνώσω.
Ὕω. Μέλλων. ὕσω. Ἀόριστος. ὗσε.

Ἀρχὴ τοῦ Φ.

Φάσκω. Παρατατικός. ἔφασκον.
Φάγω. Μέλλων. φαξοῦμαι. Μέσος παρα-
κείμενος. πέφαγα. Ἀόριστος β. ἔφυγον.
Φέρω. Μέλλων. οἴσω ἀπὸ τοῦ οἴω. Παρακεί-
μενος. ἐνήνοχα. Ἀόριστος α. ἤνεγκα. Ἀόρι-
στος β. ἤνεγκον ἀπὸ τοῦ ἐνέγκε.
Φημὶ φὴς φησὶ / φατὸν φατὸν / φαμὲν φατὲ φα-
σί. Μέλλων. φήσω. Ἀόριστος α. ἔφησα.

Ἀόριστος β. ἔφην. Ἀπαρέμφατον. φάναι.
Φθάνω. Μέλλων. φθάσω. Παρακείμενος.
ἔφθακα. Ἀόριστος α. ἔφθασα. Ἀόριστος β
ἔφθην. Φθείρω. Μέλλων. φθερῶ. Παρα-
κείμενος. ἔφθαρκα. Μέσος παρακείμενος. ἔ
φθορα. Φθίνω. Μέλλων. φθίσω.
Φοινίκω καὶ φοινίζω. Μέλλων. φοινίξω
Φύω. Μέλλων. φύσω. Παρακείμενος. πέ-
φυκα. Ἀόριστος β. ἔφυν ἀπὸ τοῦ φῦμι.

Ἀρχὴ τοῦ Χ,

Χαίρω. Μέλλων. χαρήσομαι. Ἀόριστος. ἐχά-
ρην. Χαλεπαίνω. Μέλλων. χαλεπανῶ
Ἀόριστος. ἐχαλέπηνα.
Χέω. Μέλλων. χάσω ἀπὸ τοῦ χάω. Ἀόρι-
στος. ἔχεα. Χρωννύω. Μέλλων. χρώσω.
Χύω καὶ χώω. Μέλλων. χύσω.
Χωννύω. Μέλλων. χώσω. Ἀρχὴ τοῦ Ψ.
Ψάλλω. Μέλλων. ψαλῶ. Παρακείμενος. ἔ
ψαλκα. Ἀόριστος α. ἔψηλα.

Ἀρχὴ τοῦ Ω.

Ὤθω καὶ ὠθέω ῶ. Μέλλων. ὤσω καὶ ὠθήσω.
Ὠνέομαι οῦμαι. Μέλλων. ὠνήσομαι. Παρα-
κείμενος. ὤνημαι καὶ ἑώνημαι ἀττικῶς ὅθεν ἑω-
νημένος. Ὤρσεν ἀπὸ τοῦ ὀρούω. Μέλλων
ὀρούσω. ἀόριστος. ὤρουσα καὶ κατὰ συγκοπὴν

ὦρσα· ἢ ὄρω ὀρῶ ὦρσα αἰολικῶς·

Τέλος τῶν ἀνωμάλων
ῥημάτων·

ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ·

π όσα πνεύματα δύο· ἡ δασεῖα καὶ ἡ ψιλή.
πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη, δασύνεται ἢ ψιλοῦται· ἀπὸ δὲ τῶν συμφώνων μόνον τὸ ῥ ἐν ἀρχῇ λέξεως ὂν δασύνεται·

Σημείωσαι καθόλου ὅτι τὸ τῆς εὐθείας πνεῦμα φυλάττεται καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν·

Καὶ ἐν τοῖς ῥήμασι δὲ, τὸ πνεῦμα τοῦ θέματος φυλάττεται· καὶ ἐν τοῖς ἀπ᾽ ἐκείνου κλινομένοις· οἷον ἁμαρτάνω ἥμαρτον· ἕλκω εἷλκον· πλὴν τοῦ ἔχω ἕξω· ὅπερ ἐν μὲν τῷ ἐνεστῶτι ψιλοῦται· ἐν δὲ τῷ μέλλοντι δασύνεται πρὸς ἀντιδιαστολὴν τοῦ ἔξω, ὅπερ ἐστὶν ἐπίρρημα. Ἐπὶ τῶν ῥημάτων τὸ ἐν τοῖς παρῳχημένοις ε προερχόμενον καὶ ἀποπῖπτον ψιλοῦται· οἷον ἔγραψα γράψον· εἰ δὲ προέρχεται μὲν οὐκ ἀποπίπτει δὲ τὸ πνεῦμα τοῦ ἐνεστῶτος ἔχει· οἷον ἵστημι στήσω ἕστακα ἑστηκώς·

Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, δασύνε-
ται· οἷον, ὁ ἡ οἱ αἱ·
Πᾶσα ἀντωνυμία· ἀπὸ μὲν τοῦ ε ἀρχομένη ψι-
λοῦται· οἷον ἐγώ· πλὴν τῆς ε καὶ τῶν ἐξ αὐτῆς οἷ-
ον ἑαυτὸν ἑαυτούς· ἀπὸ δὲ ἄλλου φωνήεντος ἀρ-
χομένη δασύνεται· οἷον οὗτος· αὕτη· πλὴν τοῦ
αὐτός· καὶ τῶν ἀπ' αὐτῆς· οἷον αὐτόχειρ καὶ αὐτό-
ματον· Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχο-
μένη, ψιλοῦται· οἷον ἀπὸ ἀνά· πλὴν τῆς ὑπὸ
καὶ ὑπέρ· Πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρ-
χόμενος ψιλοῦται· οἷον ἀλλά· εἰ· ἐπεὶ πλὴν·
τῶν αἰτιολογικῶν· οἱ γὰρ αἰτιολογικοὶ πάντες
δασύνονται· οἷον ἵνα· ἕνεκα· ὅπως· πλὴν τοῦ
ὄφρα· Τὰ παράγωγα, εἰσώζει τὴν ἀρχὴν τὸ
πνεῦμα τοῦ ἰδίου πρωτοτύπου ἔχει· οἷον ἀγαπῶ
ἀγάπη· ἕλκω ἕλκος· πλὴν τοῦ ἱδρὸς ἀπὸ τοῦ
ἰδίω τὸ κοπιῶ· ἀμυδὶς ἀπὸ τοῦ ἅμα· εἱρμός·
ἀπὸ τοῦ εἴρω· ἀρκτὴ ἀπὸ τοῦ εἵργω· Τὰ κα-
τὰ ἀφαίρεσιν ψιλοῦ συμφώνου γινόμενα ἀναφο-
ρικὰ δασύνονται· οἷον τόσος· ὅσος· πηνίκα· ἡνί-
κα· πλὴν τοῦ τόφρα ὄφρα· τῆμος ἦμος·
Τὰ αἰολικὰ πάντα ψιλοῦνται· οἱ γὰρ αἰολεῖς ἀ-
γνοοῦσι τὴν δασεῖαν· Τὰ ἀριθμητικὰ πάντα
δασύνονται· οἷον εἷς· ἕξ· ἑπτά· πλὴν τῶν ὀκτὼ
καὶ ἐννέα καὶ τῶν ἀπ' αὐτῶν· οἷον ὀγδοήκοντα· ἐν

νενήκοντα. Τὸ α ἐάν τε ἐπίτασιν δηλοῖ ἐάν τε
στέρησιν, ἐάν τε ὁμοῦ· ἐάν τε κακόν, ἐάν τε ὀλίγον πλε
ονάζῃ, ψιλοῦται· πλὴν τοῦ ἅλυσις· ἐκ τοῦ στερη
τικοῦ α καὶ τοῦ λύω· καὶ ἅδης ἐκ τοῦ α στερητι-
κοῦ καὶ τοῦ ἴδω. τὸ δὲ ἀθροιστικὸν α, δασύνεται·
ἅμα ἅπας.

Ἀρχὴ τοῦ Α·

Τὸ α πρὸ τοῦ α ψιλοῦται οἷον ἀαρὸν· ἄαπτος
Τὸ α πρὸ τοῦ β ψιλοῦται· οἷον ἀβλαβής· ἐὰν μὴ
τὸ ρ ἐπιφέροιτο· οἷον ἅβρα. Τὸ α πρὸ τοῦ
γ ψιλοῦται· οἷον ἄγων· πλὴν τοῦ ἁγνὸς καὶ ἅγι
ος· καὶ τῶν ἀπὸ τούτων παραγομένων οἷον ἁ-
γιότης. Τὸ α πρὸ τοῦ δ ψιλοῦται οἷον·
ἄδω· πλὴν τοῦ ἅδης καὶ ἁδρός. Τὸ α·
πρὸ τοῦ ε ψιλοῦται· οἷον ἀετὸς· ἀέρα·
Τὸ α πρὸ τοῦ ζ ψιλοῦται· οἷον ἄζηλος· πλὴν
τοῦ ἅζομαι τὸ σέβομαι. Τὸ α πρὸ τοῦ θ· ϊ
κ· ψιλοῦται· οἷον ἀθάρα· ἀΐσσω τὸ ὁρμῶ· ἄκρα
Τὸ α πρὸ τοῦ λ ψιλοῦται· οἷον ἄλλος· ἀλφῶ
ἐὰν μὴ τὸ μ ἐπάγοιτο· οἷον ἁλμηρός· καὶ πλὴν
τοῦ ἅλς ἁλός· ἁλῶ τὸ κρατῶ· ἁλὶς· ἁλίζω· ἅ-
λων· ἅλυσις· ἁλικαρνασσὸς· ἅλομαι. Τὸ α
πρὸ τοῦ μ ψιλοῦται· οἷον ἄμαξα· πλὴν τοῦ ἅ-
μα· ἁμαρτάνω· ἅμιλα· ἅμμα τὸ σχοινίον· ἅ-
μης· ἁμὶς· συμφώνου δὲ ἐπιφερομένου μετὰ τὸ
μ· ἀεὶ ψιλοῦται· οἷον ἀμφὶ· ἀμβροσία· ἀμπε-

χάνη. Τὸ α πρὸ τοῦ ν ψιλοῦται. οἷον. ἀνὰ
πλὴν τοῦ ἁνδάνω τὸ ἀρέσκω. Τὸ α πρὸ τοῦ
ξ καὶ ο ψιλοῦται. οἷον ἄξιος. ἄορ τὸ ξίφος.
Τὸ α πρὸ τοῦ π ψιλοῦται. οἷον ἀπὸ πλὴν τοῦ
ἅπαξ. ἁπλοῦς. ἅπας. ἁπαλὸς. ἅπτομαι.
Τὸ α πρὸ τοῦ ρ ψιλοῦται. οἷον ἄρα. ἢ μὴ τὸ μ
ἐπάγοιτο. ἢ τὸ π οἷον ἅρμα. ἁρπάζω. πλὴν
τοῦ ἀραιόν. Τὸ α πρὸ τοῦ σ ψιλοῦται ἀεί.
οἷον ἄσκω. ἄστυ. Τὸ α πρὸ τοῦ τ ψιλοῦται
οἷον ἄτερ. πλὴν τοῦ ἅτα ἀντὶ ἅτινα. καὶ ἅτερος
ἀντὶ τοῦ ὁ ἕτερος. Τὸ α πρὸ τοῦ υ. φ. χ ψι
λοῦται. οἷον ἀφροδίτη. ἀχαὸς. ἄκρος.
Τὸ α πρὸ τοῦ ψ ψιλοῦται. οἷον ἄψ. πλὴν τοῦ
ἁψίς. ἅψεα τὰ μέλη. Τὸ α πρὸ τοῦ ω ψι-
λοῦται. οἷον ἄωτον. Κανόνες τοῦ ε.
Τὸ ε πλεονάζον ἐν ἀρχῇ λέξεως τὸ τοῦ ἐνεστῶ-
τος σχῆμα λαμβάνει. οἷον ὁράω ὥρων ἑώρων
εἴκοσιν ἐείκοσιν. Τὸ ε πρὸ τοῦ α δασύνεται
οἷον ἑαυτὸν πλὴν τοῦ ἔαρ. ἐάων. ἐάν. Τὸ ε.
πρὸ τοῦ β ψιλοῦται. οἷον ἔβαλον. ἐβλήθην. πλὴν
τοῦ ἕβδομος. ἑβδομήκοντα. ἑβραῖος. Τὸ ε
πρὸ τοῦ γ ψιλοῦται. οἷον ἐγείρω. Τὸ ε πρὸ
τοῦ δ ψιλοῦται. οἷον ἔδεστος. πλὴν τοῦ ἕδος τὸ
ἔδαφος. ἑδεῖται ἀντὶ τοῦ καθεδεῖται. ἕδρα. ἕ-
δος. Τὸ ε πρὸ τοῦ ε ψιλοῦται. οἷον ἐετὸς

ἀντὶ τοῦ ἀχερῶς· πλὴν τοῦ ἑέλδωρ κ(αὶ) ἐπιθυμία
Τὸ ε πρὸ τοῦ ζ δασύνεται· οἷον ἕζομαι.
Τὸ ε πρὸ τοῦ η οὐχ εὑρίσκεται· πλὴν ἀπὸ κλί-
σεως· οἷον ἐῆος ἀντὶ τοῦ ἀγαθοῦ ἀπὸ ἐΰς·
Τὸ ε πρὸ τοῦ θ ψιλοῦται· οἷον ἔθος· Τὸ ε·
πρὸ τοῦ ι ψιλοῦται· οἷον εἴκτος ἀντὶ τοῦ ὅμηρος
ἐκτός· Τὸ ε πρὸ τοῦ κ δασύνεται· οἷον ἑκά-
βη· πλὴν τοῦ ἐχυρὸς καὶ ἐκεχυρία· Τὸ ε·
πρὸ τοῦ λ ἢ ἑνὸς ἢ διπλοῦ ψιλοῦται· οἷον ἐλέγχω
ἐλλόγιμος· εἰ μὴ τὸ κ ἐπάγοιτο· οἷον ἕλκω· καὶ
πλὴν τοῦ ἕλλω· ἕλη· ἑλλήσποντος· ἕλεμος· ἑλέ-
νη· ἕλος· ἕλω· ἑλίσσω· ἑλικὼν· ἕλμισ·
Τὸ ε πρὸ τοῦ μ ψιλοῦται· οἷον ἐμπεδοκλῆς·
Τὸ ε πρὸ τοῦ ν ψιλοῦται· ἕνεκα δὲ καὶ ἑνὸς ἐ-
ξαιρεῖται· Τὸ ε πρὸ τοῦ ξ ψιλοῦται· οἷον ἔ-
ξεστι· πλὴν τοῦ ἕξω ἕξας ἕξις ἑξῆς· Τὸ ε πρὸ
τοῦ ο δασύνεται· οἷον ἑορτή· Τὸ ε πρὸ τοῦ
π ψιλοῦται· οἷον ἔπος· πλὴν τοῦ ἕπομαι·
Τὸ ε πρὸ τοῦ ρ ψιλοῦται· οἷον ἐρίζω· πλὴν τοῦ
ἕρκος· ἑρμῆς· ἕρση· ἕρδω· Τὸ ε πρὸ τοῦ σ
ψιλοῦται· οἷον ἔσχατος· πλὴν τῶν ἐχόντων αὐτὸ
μετὰ τοῦ τ οἷον ἑστιάω· Τὸ ε πρὸ τοῦ τ·
ψιλοῦται· οἷον ἔτος· πλὴν τοῦ ἕτοιμος· ἕτερος
ἑταῖρος· Τὸ ε πρὸ τοῦ υ ψιλοῦται· οἷον·
Τὸ ε πρὸ τοῦ χ καὶ φ ψιλοῦται· οἷον ἔφεσος·

ἔχω· πλὴν τοῦ ἑφθός. Τὸ ε πρὸ τοῦ ψ δα-
σύνεται· οἷον ἕψω. Τὸ ε πρὸ τοῦ ω δασύνε-
ται· οἷον ἕωθεν· πλὴν τοῦ ἔω τὸ ὑπάρχω καὶ ἐῶ.

Περὶ τοῦ Η.

Τὸ η πρὸ τοῦ α ἀπὸ κλίσεως μόνον εὑρίσκον-
ται· οἷον ἦα ἀντὶ τοῦ ἐπορεύθην. Τὸ η πρὸ τοῦ
β δασύνεται· οἷον ἥβη· πλὴν τοῦ ἠβαιὸν ἀντὶ τοῦ
βαιόν· ἐπεὶ ἀπὸ πλεονασμοῦ γίνεται· τὸ γὰρ η
πλεονάζει. Τὸ η πρὸ τοῦ γ δασύνεται· οἷον
ἡγοῦμαι· πλὴν ἠγάθεος. Τὸ η πρὸ τοῦ δ
δασύνεται· οἷον ἥδη· πλὴν ἤδομαι· ἠδονή· ἠδύς.
Τὸ η πρὸ τοῦ ε· ζ· η· θ· ι ψιλοῦται· οἷον ἠέλι-
ος· ἦθος· ἠίθεος. Τὸ η πρὸ τοῦ κ δασύνεται
οἷον ἥκιστα· πλὴν τοῦ ἦκα ἀντὶ τοῦ ἡσύχος.
Τὸ η πρὸ τοῦ λ ψιλοῦται· οἷον ἠλίθιος· πλὴν
τοῦ ἧλος· ἥλιος. Τὸ η πρὸ τοῦ μ ψιλοῦται
οἷον ἦμαρ· πλὴν ἡμέρα· ἥμβος· ἥμισυ· ἥμων
ὁ ἀκοντιστής. Τὸ η πρὸ τοῦ ν ψιλοῦται· οἷ-
ον ἦν· ἠνίκα. Τὸ η πρὸ τοῦ ξ οὐχ εὑρίσκε-
ται· πλὴν ἀπὸ κλίσεως· οἷον ἄγω· ἦξα.
Τὸ η πρὸ τοῦ ο ψιλοῦται. Τὸ η πρὸ τοῦ π
ψιλοῦται· οἷον ἤπιρος· πλὴν ἧπαρ. Τὸ η
πρὸ τοῦ ρ ψιλοῦται· οἷον ἠρέμα· πλὴν ἡράδης
ἧμα· ἡρωδιανός· ἥρων· ἡρακλῆς· ἡρόδοτος· ἥ-
ρως· ἡρόφιλος. Τὸ η πρὸ τοῦ σ δασύνεται.

οἷον ἡσίοδος. ἡσυχία. Τὸ η πρὸ τοῦ τ ψι-
λοῦται. οἷον ἦρτο. πλὴν τοῦ ἡττάω ῶ. Τὸ η
πρὸ τοῦ ν ψιλοῦται. οἷον ἠνὺσ ὁ ἀγαθὸς.
Τὸ η πρὸ τοῦ φ ψιλοῦται. οἷον ἠφλοισμὸς ὁ ἀ-
φρὸς. πλὴν τοῦ ἥφαιστος. ἡφαιστίων. Τὸ η
πρὸ τοῦ ψ οὐχ εὑρίσκεται. οἷον ἄπτω ἧψα.
Τὸ η πρὸ τοῦ χ ψιλοῦται. οἷον ἠχέω ἠχῶ.
Τὸ η πρὸ τοῦ ω ψιλοῦται. οἷον ἠὼς.

Κανόνες περὶ τοῦ Ι.

Τὸ ι πρὸ τοῦ α. β. γ. ψιλοῦται. Τὸ ι πρὸ
τοῦ δ ψιλοῦται. οἷον ἴδω. εἰ μὴ τὸ ρ ἐπάγοιτο
οἷον ἱδρύω. πλὴν τοῦ ἵδρυς. Τὸ ι πρὸ τοῦ
ε ψιλοῦται. οἷον ἴεμαι. πλὴν ἱερὸς. ἱέραξ.
Τὸ ι πρὸ τοῦ ζ δασύνεται. οἷον ἱζάνω. Τὸ ι
πρὸ τοῦ η ψιλοῦται. οἷον ἰατὴρ ὁ ἰατρὸς. πλὴν
τοῦ ἵημι. Τὸ ι πρὸ τοῦ θ ψιλοῦται. οἷον ἰ-
θάκη. Τὸ ι πρὸ τοῦ ι οὐχ εὑρίσκεται.
Τὸ ι πρὸ τοῦ κ ψιλοῦται. οἷον ἴκαρος. πλὴν
τοῦ ἱκανὸς. ἱκετάω. ἱκάνω. ἰκνοῦμαι.
Τὸ ι πρὸ τοῦ λ ψιλοῦται. οἷον ἴλιον. πλὴν τοῦ
ἵλκος. Τὸ ι πρὸ τοῦ μ εἰ μὲν ἐπιφέρηται
φωνῆεν, δασύνεται. οἷον ἵμβος. εἰ δὲ σύμφωνον
ψιλοῦται. Τὸ ι πρὸ τοῦ ν ψιλοῦται. οἷον
ἰνδὸς. Τὸ ι πρὸ τοῦ ξ καὶ ο ψιλοῦται. οἷ-
ον ἰξὸς. ἰόλαος. Τὸ ι πρὸ τοῦ π ἑνὸς μὲν

ψιλοῦται· διὰ δύο δὲ, δασύνεται. Τὸ ι πρὸ
τοῦ σ ψιλοῦται· οἷον ἴσος· ἢ μὴ τὸ τ ἐπάγοιτο
οἷον ἵστημι· πλὴν τοῦ ἴστρος. Τὸ ι πρὸ τοῦ
τ· υ· φ· χ· ψ· ω· ψιλοῦται· οἷον ἰταλία· ἴυξ·
ἶφι· ἰχθὺ· ἴψ· ἰώ. Κανόνες τρίτου Ο.
Τὸ ο κατὰ πλεονασμὸν προστιθέμενον δασύνε
ται· οἷον ὁπωσοῦν· ὁπότρον. Τὸ ο πρὸ τοῦ
α· β· γ ψιλοῦται οἷον ὄαρος· ὀβελίσκος· ὄγκος
Τὸ ο πρὸ τοῦ δ ψιλοῦται· οἷον ὀδυσσεὺς· πλὴν
τοῦ ὁδὸς. Τὸ ο πρὸ τοῦ ε· ζ· η· θ· ψιλοῦται
οἷον ὄζω· ὀθόνη· ὄϊς. Τὸ ο πρὸ τοῦ κ ψιλοῦ
ται· οἷον ὄκνος· πλὴν τοῦ ὁκοῖος· ὁπόσος· ἀντὶ
τοῦ ὁποῖος. Τὸ ο πρὸ τοῦ λ ψιλοῦται· οἷον
ὀλύω· πλὴν τοῦ ὅλος· ὅλμος· ὁλκὴ· ὁλκάς·
Τὸ ο πρὸ τοῦ μ ψιλοῦται· οἷον ὀμνύω· πλὴν ὁ
μοῦ· ὅμοιος· ὅμος· ὁμοκλὴ· ὅμιλος· ὀμφαλὸς
Τὸ ο πρὸ τοῦ ν ψιλοῦται· οἷον ὄνος· Τὸ ο
πρὸ τοῦ ξ ψιλοῦται· οἷον ὀξὺς· Τὸ ο πρὸ τοῦ
π ψιλοῦται· οἷον ὀπώρα· πλὴν τοῦ ὅπλον·
Τὸ ο πρὸ τοῦ ρ ψιλοῦται· οἷον ὄρος· πλὴν τοῦ
ὅρω· ὅρος· καὶ πλὴν ἐφ' ὧν τὸ κ ἢ τὸ μ μετὰ τοῦ
ρ ἐπάγοιτο· οἷον ὁρμὸς· ὁρμῶ· ὁρκίζω· ὁρμα-
θὸς. Τὸ ο πρὸ τοῦ σ ἢ μὲν φωνῆεν ἐπάγοιτο
δασύνεται οἷον ὅσιος· πλὴν ὄσιρις· εἰ δὲ σύμφω
νον ψιλοῦται· οἷον ὄσπριον. Τὸ ο πρὸ τοῦ τ

ψιλοῦται· οἷον ὄτοβος· πλὴν τοῦ ὅτι· ὅταν·
ὅτε· Τὸ ο πρὸ τοῦ φ· χ· ψ· ψιλοῦται· οἷον
ὄφις· ὄχημα· ὀψέ. Τὸ ο πρὸ τοῦ ο· υ· ω·
οὐχ εὑρίσκεται. Περὶ τοῦ Υ.

Τὸ υ δασύνεται ἀεὶ εἴτε πρὸ φωνήεντος εἴτε πρὸ
συμφώνου· πλὴν τῶν αἰολικῶν· οἱ γὰρ αἰολεῖς ἀ-
γνοοῦσι τὴν δασεῖαν. Περὶ τοῦ Ω.

Τὸ ω ψιλοῦται ἀεί· οἷον ὠθέω· ὦμος· καὶ τὰ λοι-
πά· πλὴν τοῦ ὥρα· καὶ τῶν ἀπ' αὐτοῦ· οἷον ὡραῖ-
ος· ὧδε· ὡρακιῶ.

Περὶ διφθόγγων.

Ἡ αι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέξε-
σι, ψιλοῦται· οἷον αἰὼν· αἰκία· εἰ μὴ τὸ μ ἐπά-
γοιτο· οἷον αἷμα· πλὴν τοῦ αἱρέω· αἱροῦμαι.

Ἡ αυ δίφθογγος, ψιλοῦται· οἷον αὐλέω· πλὴν·
αὑτὴ· αὑτοῦ, ἀντὶ τοῦ ἑαυτοῦ.

Ἡ ει δίφθογγος ψιλοῦται· οἷον εἰς πρόθεσις· εἰ-
κῆ· πλὴν τοῦ εἷλος· εἱλύσω· εἱμαρμένη· εἷμα τὸ
ἔνδυμα· εἱμένος· εἷς· εἵως· εἱρμὸς· εἱρκτὴ.

Ἡ ευ δίφθογγος ψιλοῦται· οἷον εὖ πλὴν τοῦ εὕω
τὸ φωτίζω καὶ φλογίζω· εὕρω εὑρίσκω.

Ἡ οι δίφθογγος ἐν ταῖς ὑπὲρ μίαν συλλαβὴν λέ-
ξεσι ψιλοῦται· οἷον οἶνος· πλὴν τοῦ οἷμας· οἷς
δὲ ἐμ. τοῦ· οἷς· ψιλοῦται.


Ἡ ου δίφθογγος ψιλοῦται· οἷον οὐδαμῶς· πλὴν

τοῦ οὕνεκα αἰτιολογικοῦ συνδέσμου. καὶ οὗ ἀν-
τὶ τοῦ οὗτινος. καὶ οὕτως ἐπίρρημα. καὶ οὗτος
ἀντωνυμία.

Τέλος σὺν θεῷ ἁγίῳ τοῦ περὶ
πραγμάτων.

Mediolani Impressum per Magistrum Dionysium
Parauisinum. MCCCCLXXVI.
Die xxx Ianuarii.




74